GREEK SERIES · VOLUME 59

Callirhoe

Chariton

ΤΑ ΠΕΡΙ ΧΑΙΡΕΑΝ ΚΑΙ ΚΑΛΛΙΡΡΟΗΝ

Callirhoe

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 59 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Hercher's Teubner *Erotici Scriptores Graeci* (1859)

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words the editor supplies are printed without
their brackets; ∗∗∗ marks a gap in the text.

CONTENTS

BOOK I

I · The Wedding 7
II · The Blow 18
III · The Tomb Robbers 30
IV · The Sale 41

BOOK II

I · Dionysius 52
II · Callirhoe's Secret 68
III · The Decision 81

BOOK III

I · The Empty Tomb 90
II · The Search 108
III · The Burning of the Trireme 121
IV · The Lament 134

BOOK IV

I · The Cenotaph 137
II · The Letter 148
III · Summoned to Babylon 161

BOOK V

I · The Rival Beauty 169
II · The Trial 182
III · Chaereas Appears 194

BOOK VI

I · The King in Love 210
II · The Eunuch's Errand 223
III · War 234

BOOK VII

I · Chaereas Changes Sides 245
II · Tyre and Aradus 257

BOOK VIII

I · The Recognition 272
II · The Letters 284
III · Syracuse 300

BOOK I

I · THE WEDDING

Chariton of Aphrodisias, a secretary to the orator Athenagoras, tells of a love affair in Syracuse. Callirhoe, daughter of the general Hermocrates who defeated the Athenians, has a beauty like Aphrodite's own. At the goddess's festival she and Chaereas, son of Ariston, fall in love at first sight. Chaereas wastes away, the assembly demands the match, Hermocrates consents, and the whole city celebrates the wedding. The rejected suitors plot: while Chaereas is called away to his injured father, they leave the signs of a lover's revel at her door. Chaereas rages, but the two are reconciled.

Χαρίτων Ἀφροδισιεύς, Ἀθηναγόρου τοῦ ῥήτορος ὑπογραφεύς, 1.1
Chariton of-Aphrodisias of-Athenagoras the orator secretary
πάθος ἐρωτικὸν ἐν Συρακούσαις γενόμενον διηγήσομαι.
a-passion of-love in Syracuse having-happened I-will-relate
Ἑρμοκράτης, ὁ Συρακουσίων στρατηγός, οὗτος ὁ
Hermocrates the of-Syracusans general this the-one
νικήσας Ἀθηναίους, εἶχε θυγατέρα Καλλιρρόην τοὔνομα,
having-defeated Athenians had a-daughter Callirhoe by-name
θαυμαστόν τι χρῆμα παρθένου καὶ ἄγαλμα τῆς ὅλης
wonderful a thing of-a-maiden and an-ornament of-the whole
Σικελίας· ἦν γὰρ τὸ κάλλος οὐκ ἀνθρώπινον ἀλλὰ θεῖον, οὐδὲ
Sicily was for the beauty not human but divine nor
Νηρηίδος ἢ Νύμφης τῶν ὀρειῶν ἀλλ' αὐτῆς Ἀφροδίτης.
of-a-Nereid or of-a-Nymph of-the mountain but of-the-very Aphrodite
Φήμη δὲ τοῦ παραδόξου θεάματος πανταχοῦ διέτρεχε καὶ 1.2
report and of-the marvelous sight everywhere ran-about and
μνηστῆρες κατέρρεον εἰς Συρακούσας, δυνασταί τε καὶ
suitors streamed-down into Syracuse lords both and

παῖδες τυράννων, οὐκ ἐκ Σικελίας μόνον, ἀλλὰ καὶ ἐξ
sons of-tyrants not from Sicily only but also from
Ἰταλίας καὶ Ἠπείρου καὶ νήσων τῶν ἐν Ἠπείρῳ.
Italy and Epirus and islands the-ones in Epirus

1.3 Ὁ δ' Ἔρως ζεῦγος ἴδιον ἠθέλησε συμπλέξαι. Χαιρέας
— and Love a-pair of-his-own wished to-join Chaereas
γάρ τις ἦν μειράκιον εὔμορφον, πάντων ὑπερέχον,
for a-certain was youth handsome all surpassing
οἷον Ἀχιλλέα καὶ Νιρέα καὶ Ἱππόλυτον καὶ Ἀλκιβιάδην
such-as Achilles and Nireus and Hippolytus and Alcibiades
πλάσται καὶ γραφεῖς δεικνύουσι, πατρὸς Ἀρίστωνος, τὰ
sculptors and painters show of-a-father Ariston the
δεύτερα ἐν Συρακούσαις μετὰ Ἑρμοκράτην φερομένου.
second-place in Syracuse after Hermocrates carrying-off
Καί τις ἦν ἐν αὐτοῖς πολιτικὸς φθόνος, ὥστε θᾶττον
and a-certain was among them political envy so-that sooner
ἂν πᾶσιν ἢ ἀλλήλοις ἐκήδευσαν.
— with-all than with-one-another they-would-have-married-into

1.4 Φιλόνεικος δ' ἐστὶν ὁ Ἔρως καὶ χαίρει τοῖς παραδόξοις
fond-of-victory and is — Love and delights in-the unexpected
κατορθώμασιν· ἐζήτησε δὲ τοιόνδε τὸν καιρόν. Ἀφροδίτης
successes be-sought and such the occasion of-Aphrodite
ἑορτὴ δημοτελής, καὶ πᾶσαι σχεδὸν αἱ γυναῖκες ἀπῆλθον
a-festival public and all almost the women went-off
εἰς τὸν νεών.
to the temple

1.5 Τέως δὲ μὴ προϊοῦσαν τὴν Καλλιρρόην προήγαγεν ἡ
until-then and not going-out — Callirhoe brought-forth the
μήτηρ, τοῦ Ἑρμοκράτους κελεύσαντος προσκυνῆσαι τὴν
mother — Hermocrates having-ordered to-worship the
θεόν. Τότε δὲ Χαιρέας ἀπὸ τῶν γυμνασίων ἐβάδιζεν
goddess then and Chaereas from the gymnasia was-walking

οἴκαδε στίλβων ὥσπερ ἀστήρ· ἐπήνθει γὰρ αὐτοῦ τῷ
homeward gleaming like a-star bloomed-upon for his the
λαμπρῷ τοῦ προσώπου τὸ ἐρύθημα τῆς παλαίστρας
brightness of-the face the flush of-the wrestling-ground
ὥσπερ ἀργύρῳ χρυσός.
as on-silver gold
Ἐκ τύχης οὖν περί τινα καμπὴν στενωτέραν συναντῶντες 1.6
by chance then around a bend rather-narrow meeting
περιέπεσον ἀλλήλοις, τοῦ θεοῦ πολιτευσαμένου τήνδε τὴν
they-ran-into one-another the god having-contrived this the
συνοδίαν, ἵν' ἑκάτερος τῷ ἑτέρῳ ὀφθῇ. Ταχέως οὖν
meeting so-that each to-the other might-be-seen quickly then
πάθος ἐρωτικὸν ἀντέδωκαν ἀλλήλοις ***
passion of-love they-exchanged with-one-another (lacuna)
Ὁ μὲν οὖν Χαιρέας οἴκαδε μετὰ τοῦ τραύματος μόλις 1.7
— indeed then Chaereas homeward with the wound barely
ἀπῄει καὶ ὥσπερ τις ἀριστεὺς ἐν πολέμῳ τρωθεὶς καιρίαν,
went-off and like some champion in war wounded mortally
τοῦ κάλλους τῇ εὐγενείᾳ συνελθόντος, καὶ καταπεσεῖν
the beauty with-the nobility having-come-together and to-fall-down
μὲν αἰδούμενος, στῆναι δὲ μὴ δυνάμενος· ἡ δὲ παρθένος
indeed ashamed to-stand but not being-able the and maiden
τῆς Ἀφροδίτης τοῖς ποσὶ προσέπεσε καὶ καταφιλοῦσα "σύ
— of-Aphrodite at-the feet fell and kissing you
μοι, δέσποινα," εἶπεν "δὸς ἄνδρα τοῦτον ὃν ἔδειξας."
for-me mistress she-said give as-husband this-one whom you-showed
Νὺξ ἐπῆλθεν ἀμφοτέροις δεινή· τὸ γὰρ πῦρ ἐξεκάετο. 1.8
night came-on for-both terrible the for fire was-blazing-up
Δεινότερα δ' ἔπασχεν ἡ παρθένος διὰ τὴν σιωπήν,
more-terribly but suffered the maiden because-of the silence
αἰδουμένη κατάφωρος γενέσθαι· Χαιρέας δὲ νεανίας
ashamed detected to-become Chaereas and a-young-man

εὐφυὴς καὶ μεγαλόφρων, ἤδη τοῦ σώματος αὐτῷ
well-born and high-minded already the body for-him
φθίνοντος, ἀπετόλμησεν εἰπεῖν πρὸς τοὺς γονεῖς ὅτι ἐρᾷ
wasting dared to-say to the parents that he-loves
καὶ οὐ βιώσεται τοῦ Καλλιρρόης γάμου μὴ τυχών.
and not he-will-live the of-Callirhoe marriage not having-obtained

1.9 Ἐστέναξεν ὁ πατὴρ ἀκούσας καὶ "οἴχῃ δή μοι,
groaned the father having-heard and you-are-lost indeed to-me
τέκνον· δῆλον γάρ ἐστιν ὅτι Ἑρμοκράτης οὐκ ἂν δοίη
child clear for it-is that Hermocrates not — would-give
σοὶ τὴν αὐτοῦ θυγατέρα τοσούτους ἔχων μνηστῆρας
to-you the his-own daughter so-many having suitors
πλουσίους καὶ βασιλεῖς. Οὔκουν οὐδὲ πειρᾶσαι σε δεῖ,
rich and kings not-then even to-try you it-is-necessary
μὴ φανερῶς ὑβρισθῶμεν." Εἶθ' ὁ μὲν πατὴρ παρεμυθεῖτο
lest openly we-be-insulted then the indeed father was-consoling
τὸν παῖδα, τῷ δ' ηὔξετο τὸ κακόν, ὥστε μηδ' ἐπὶ
the son for-him but grew the trouble so-that not-even to
τὰς συνήθεις προϊέναι διατριβάς.
the usual to-go-out haunts

1.10 Ἐπόθει δὲ τὸ γυμνάσιον Χαιρέαν καὶ ὥσπερ ἔρημον ἦν·
missed and the gymnasium Chaereas and as-it-were deserted was
ἐφίλει γὰρ αὐτὸν ἡ νεολαία. Πολυπραγμονοῦντες δὲ τὴν
loved for him the youth inquiring and the
αἰτίαν ἔμαθον τῆς νόσου, καὶ ἔλεος πάντας εἰσῄει μειρακίου
cause they-learned of-the sickness and pity all came-into for-a-youth
καλοῦ κινδυνεύοντος ἀπολέσθαι διὰ πάθος ψυχῆς εὐφυοῦς.
fine being-in-danger to-perish through passion of-a-soul noble

1.11 Ἐνέστη νόμιμος ἐκκλησία. Συγκαθεσθεὶς οὖν ὁ δῆμος
was-at-hand a-regular assembly having-sat-down then the people
τοῦτο πρῶτον καὶ μόνον ἐβόα "καλὸς Ἑρμοκράτης μέγας
this first and only shouted noble Hermocrates great

στρατηγός, σῶζε Χαιρέαν. Τοῦτο πρῶτον τῶν τροπαίων. Ἡ
general save Chaereas this first of-the trophies the
πόλις μνηστεύεται τοὺς γάμους σήμερον ἀλλήλων ἀξίων.”
city woos the marriage today of-each-other worthy
Τίς ἂν μηνύσειε τὴν ἐκκλησίαν ἐκείνην, ἧς ὁ Ἔρως 1.12
who — could-describe the assembly that of-which — Love
ἦν ὁ δημαγωγός; Ἀνὴρ δὲ φιλόπατρις Ἑρμοκράτης
was the leader-of-the-people a-man and patriotic Hermocrates
ἀντειπεῖν οὐκ ἐδυνήθη τῇ πόλει δεομένῃ. Κατανεύσαντος
to-refuse not was-able the city asking having-nodded-assent
δ’ αὐτοῦ πᾶς ὁ δῆμος ἐξεπήδησε τοῦ θεάτρου, καὶ οἱ
and he all the people leapt-out of-the theater and the
μὲν νέοι ἀπῄεσαν ἐπὶ Χαιρέαν, ἡ βουλὴ δὲ καὶ οἱ
indeed young-men went-off to Chaereas the council and and the
ἄρχοντες ἠκολούθουν Ἑρμοκράτει· παρῆσαν δὲ καὶ αἱ
magistrates followed Hermocrates were-present and also the
γυναῖκες αἱ Συρακουσίων ἐπὶ τὴν οἰκίαν νυμφαγωγοῦσαι.
women the of-Syracusans at the house leading-the-bride
Ὑμέναιος ᾄδετο κατὰ πᾶσαν τὴν πόλιν· μεσταὶ δὲ 1.13
the-wedding-song was-sung throughout all the city full and
αἱ ῥύμαι στεφάνων, λαμπάδων· ἐρραίνετο τὰ πρόθυρα
the streets of-garlands of-torches were-sprinkled the doorways
οἴνῳ καὶ μύροις. Ἡδίονα ταύτην τὴν ἡμέραν ἤγαγον
with-wine and perfumes more-pleasant this the day kept
οἱ Συρακούσιοι τῆς τῶν ἐπινικίων.
the Syracusans than-the of-the victory-celebrations
Ἡ δὲ παρθένος οὐδὲν εἰδυῖα τούτων ἔρριπτο ἐπὶ τῆς κοίτης 1.14
the and maiden nothing knowing of-these-things lay-flung on the bed
ἐγκεκαλυμμένη, κλάουσα καὶ σιωπῶσα. Προσελθοῦσα δὲ ἡ
covered-up weeping and silent having-come-up and the

τροφὸς τῇ κλίνῃ "τέκνον," εἶπεν, "ἐξανίστασο, πάρεστι γὰρ
nurse to-the couch child she-said get-up is-here for
ἡ εὐκταιοτάτη πασῶν ἡμῖν ἡμέρα· ἡ πόλις σε νυμφαγωγεῖ."
the most-longed-for of-all for-us day the city you leads-as-a-bride

Τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ·
of-her and on-the-spot were-loosed knees and dear heart

οὐ γὰρ ᾔδει, τίνι γαμεῖται. Ἄφωνος εὐθὺς ἦν καὶ
not for she-knew to-whom she-is-married speechless at-once she-was and
σκότος αὐτῆς τῶν ὀφθαλμῶν κατεχύθη καὶ ὀλίγου δεῖν
darkness her over-the eyes was-poured-down and nearly —
ἐξέπνευσεν· ἐδόκει δὲ τοῦτο τοῖς ὁρῶσιν αἰδώς.
she-expired seemed but this to-those seeing modesty

1.15 Ἐπεὶ δὲ ταχέως ἐκόσμησαν αὐτὴν αἱ θεραπαινίδες, τὸ πλῆθος
when and quickly adorned her the maidservants the crowd
ἐπὶ τῶν θυρῶν ἀπέλιπον· οἱ δὲ γονεῖς τὸν νυμφίον εἰσήγαγον
at the doors they-left the and parents the bridegroom brought-in
πρὸς τὴν παρθένον. Ὁ μὲν οὖν Χαιρέας προσδραμὼν
to the maiden — indeed then Chaereas having-run-up
αὐτὴν κατεφίλει, Καλλιρρόη δὲ γνωρίσασα τὸν ἐρώμενον,
her kissed Callirhoe and having-recognized the beloved
ὥσπερ τι λύχνου φῶς ἤδη σβεννύμενον ἐπιχυθέντος
like some of-a-lamp light already being-quenched having-been-poured-on
ἐλαίου πάλιν ἀνέλαμψε καὶ μείζων ἐγένετο καὶ κρείττων.
oil again blazed-up and greater became and stronger

1.16 Ἐπεὶ δὲ προῆλθεν εἰς τὸ δημόσιον, θάμβος ὅλον
when and she-came-out into the public amazement whole
τὸ πλῆθος κατέλαβεν, ὥσπερ Ἀρτέμιδος ἐν ἐρημίᾳ
the crowd seized as-when Artemis in a-lonely-place
κυνηγέταις ἐπιστάσης· πολλοὶ δὲ τῶν παρόντων καὶ
on-hunters having-come-upon many and of-those present even

προσεκύνησαν. Πάντες δὲ Καλλιρρόην μὲν ἐθαύμαζον,
did-obeisance all and Callirhoe indeed admired
Χαιρέαν δὲ ἐμακάριζον. Τοιοῦτον ὑμνοῦσι ποιηταὶ τὸν
Chaereas and congratulated such sing poets the
Θέτιδος γάμον ἐν Πηλίῳ γεγονέναι. Πλὴν καὶ ἐνταῦθά
of-Thetis wedding on Pelion to-have-been but even here
τις εὑρέθη βάσκανος δαίμων, ὥσπερ ἐκεῖ φασὶ τὴν Ἔριν.
some was-found envious spirit as there they-say — Strife
Οἱ γὰρ μνηστῆρες ἀποτυχόντες τοῦ γάμου λύπην ἐλάμβανον 2.1
the for suitors having-failed-of the marriage grief were-taking
μετ᾽ ὀργῆς. Τέως οὖν μαχόμενοι πρὸς ἀλλήλους ὡμονόησαν
with anger hitherto then fighting with one-another they-agreed
τότε, διὰ δὲ τὴν ὁμόνοιαν, ὑβρίσθαι δοκοῦντες,
then because-of and the concord to-have-been-insulted thinking
συνῆλθον εἰς βουλευτήριον κοινόν· ἐστρατολόγει δὲ
they-came-together into a-council-chamber common was-enlisting and
αὐτοὺς ἐπὶ τὸν κατὰ Χαιρέου πόλεμον ὁ φθόνος.
them for the against Chaereas war the envy
Καὶ πρῶτος ἀναστὰς νεανίας τις Ἰταλιώτης, υἱὸς τοῦ 2.2
and first having-stood-up young-man a-certain Italian son of-the
Ῥηγίνων τυράννου, τοιαῦτα ἔλεγεν “Εἰ μέν τις ἐξ ἡμῶν
of-Rhegians tyrant such-things said if indeed someone of us
ἔγημεν, οὐκ ἂν ὠργίσθην, ὥσπερ ἐν τοῖς γυμνικοῖς
had-married not — I-would-have-been-angry just-as in the athletic
ἀγῶσιν ἕνα δεῖ νικῆσαι τῶν ἀγωνισαμένων· ἐπεὶ
contests one it-is-necessary to-win of-those having-competed since
δὲ παρευδοκίμησεν ἡμᾶς ὁ μηδὲν ὑπὲρ τοῦ γάμου
but outshone us the-one nothing for the marriage
πονήσας, οὐ φέρω τὴν ὕβριν.
having-toiled not I-bear the insult

2.3 Ἡμεῖς δὲ παρετάθημεν αὐλείοις θύραις προσαγρυπνοῦντες,
we but wore-ourselves-out at-courtyard doors keeping-watch
καὶ κολακεύοντες τίτθας καὶ θεραπαινίδας καὶ δῶρα
and flattering nurses and maidservants and gifts
πέμποντες τροφοῖς πόσον χρόνον δεδουλεύκαμεν καί, τὸ
sending to-nurses how-much time we-have-slaved and the
πάντων χαλεπώτατον, ὡς ἀντεραστὰς ἀλλήλους ἐμισήσαμεν·
of-all hardest as rivals one-another we-hated
ὁ δὲ πόρνος καὶ πένης καὶ μηδενὸς κρείττων βασιλέων
the and debauchee and poor-man and than-no-one better kings
ἀγωνισαμένων αὐτὸς ἀκονιτὶ τὸν στέφανον ἤρατο.
having-competed he without-a-fight the crown carried-off
2.4 Ἀλλὰ ἀνόνητον αὐτῷ γενέσθω τὸ ἆθλον καὶ τὸν γάμον
but unprofitable for-him let-be the prize and the marriage
θάνατον τῷ νυμφίῳ ποιήσωμεν.” Πάντες οὖν ἐπῄνεσαν,
death for-the bridegroom let-us-make all then approved
μόνος δὲ ὁ Ἀκραγαντίνων τύραννος ἀντεῖπεν. “Οὐκ εὐνοίᾳ
alone but the of-Acragantines tyrant spoke-against not from-goodwill
δὲ” εἶπε “τῇ πρὸς Χαιρέαν κωλύω τὴν ἐπιβουλήν, ἀλλὰ
and he-said the toward Chaereas I-hinder the plot but
ἀσφαλεστέρῳ τῷ λογισμῷ· μέμνησθε γὰρ ὅτι Ἑρμοκράτης
safer by-the reckoning remember for that Hermocrates
οὐκ ἔστιν εὐκαταφρόνητος· ὥστε ἀδύνατος ἡμῖν πρὸς αὐτὸν
not is easily-despised so-that impossible for-us against him
ἡ ἐκ τοῦ φανεροῦ μάχη, κρείττων δὲ ἡ μετὰ τέχνης· καὶ
the from the open battle better but the-one with craft and
γὰρ τὰς τυραννίδας πανουργίᾳ μᾶλλον ἢ βίᾳ κτώμεθα.
for the tyrannies by-cunning rather than by-force we-acquire
2.5 Χειροτονήσατέ με τοῦ πρὸς Χαιρέαν πολέμου στρατηγόν.
elect me of-the against Chaereas war general
Ἐπαγγέλλομαι διαλύσειν τὸν γάμον· ἐφοπλιῶ γὰρ
I-promise to-be-going-to-break-up the marriage I-will-arm-against for

αὐτῷ ζηλοτυπίαν, ἥτις σύμμαχον λαβοῦσα τὸν ἔρωτα
him jealousy which as-ally having-taken the love
μέγα τι κακὸν διαπράξεται.
great some evil will-accomplish
Καλλιρρόη μὲν οὖν εὐσταθὴς καὶ ἄπειρος κακοήθους 2.6
Callirhoe indeed then steady and inexperienced of-malicious
ὑποψίας, ὁ δὲ Χαιρέας, οἷα δὴ γυμνασίοις ἐντραφεὶς καὶ
suspicion — but Chaereas as indeed in-gymnasia brought-up and
νεωτερικῶν ἁμαρτημάτων οὐκ ἄπειρος, δύναται ῥᾳδίως
of-youthful offenses not inexperienced is-able easily
ὑποπτεύσας ἐμπεσεῖν εἰς ἐρωτικὴν ζηλοτυπίαν· ἔστι
having-suspected to-fall into lover's jealousy it-is-possible
δὲ καὶ προσελθεῖν ἐκείνῳ ῥᾷον καὶ λαλῆσαι." Πάντες
and also to-approach him more-easily and to-talk all
ἔτι λέγοντος αὐτοῦ τὴν γνώμην ἐπεψηφίσαντο καὶ τὸ
still speaking he the proposal voted-for and the
ἔργον ἐνεχείρισαν ὡς ἀνδρὶ πᾶν ἱκανῷ μηχανήσασθαι.
work entrusted as to-a-man everything capable to-contrive
Τοιαύτης οὖν ἐπινοίας ἐκεῖνος ἤρξατο.
such then a-scheme he began
Ἑσπέρα μὲν ἦν, ἦκε δὲ ἀγγέλλων τις ὅτι Ἀρίστων 3.1
evening indeed it-was came and reporting someone that Ariston
ὁ πατὴρ Χαιρέου πεσὼν ἀπὸ κλίμακος ἐν ἀγρῷ
the father of-Chaereas having-fallen from a-ladder in the-country
πάνυ ὀλίγας ἔχει τοῦ ζῆν τὰς ἐλπίδας. Ὁ δὲ Χαιρέας
very few has of-the to-live the hopes — and Chaereas
ἀκούσας, καίτοι φιλοπάτωρ ὤν, ὅμως ἐλυπήθη, ὅτι
having-heard and-yet loving-his-father being still was-grieved that
ἔμελλεν ἀπελεύσεσθαι μόνος· οὐ γὰρ οἷόν τε ἦν ἐξάγειν
he-was-about to-go-away alone not for possible — it-was to-take-out
ἤδη τὴν κόρην.
yet the girl

3.2 Ἐν δὲ τῇ νυκτὶ ταύτῃ φανερῶς μὲν οὐδεὶς ἐτόλμησεν
in and the night this openly indeed no-one dared
ἐπικωμάσαι, κρύφα δὲ καὶ ἀδήλως ἐπελθόντες σημεῖα
to-revel-at-the-door secretly but and unseen having-come signs
κώμου κατέλιπον· ἐστεφάνωσαν τὰ πρόθυρα, μύροις
of-a-revel left they-garlanded the doorway with-perfumes
ἔρραναν, οἴνου πηλὸν ἐποίησαν, δᾷδας ἔρριψαν ἡμικαύτους.
they-sprinkled of-wine mud they-made torches they-threw half-burnt
3.3 Διέλαμψεν ἡμέρα, καὶ πᾶς ὁ παριὼν ἐφειστήκει κοινῷ
shone-through day and every the passer-by stood-still with-a-common
τινὶ πολυπραγμοσύνης πάθει· Χαιρέας δὲ τοῦ πατρὸς
certain of-curiosity feeling Chaereas and the father
αὐτοῦ ῥᾷον ἐσχηκότος ἔσπευδε πρὸς τὴν γυναῖκα. Ἰδὼν
his better having-become hurried to the wife having-seen
δὲ τὸν ὄχλον πρὸ τῶν θυρῶν τὸ μὲν πρῶτον ἐθαύμασεν·
and the crowd before the doors the indeed first he-wondered
ἐπεὶ δὲ ἔμαθε τὴν αἰτίαν, ἐνθουσιῶν εἰστρέχει· καταλαβὼν
when but he-learned the cause frantic runs-in having-found
δὲ τὸν θάλαμον ἔτι κεκλεισμένον, ἤρασσε μετὰ σπουδῆς.
and the bedroom still shut he-beat-on-it with haste
3.4 Ἐπεὶ δ’ ἀνέῳγεν ἡ θεραπαινίς, ἐπιπεσὼν τῇ Καλλιρρόῃ,
when and had-opened the maidservant having-fallen-upon — Callirhoe
τὴν ὀργὴν μετέβαλεν εἰς λύπην καὶ περιρρηξάμενος ἔκλαε.
the anger he-changed into grief and having-torn-his-clothes wept
Πυνθανομένης δὲ τί γέγονεν, ἄφωνος ἦν, οὔτε ἀπιστεῖν
asking and what has-happened speechless he-was neither to-disbelieve
οἷς εἶδεν οὔτε πιστεύειν οἷς οὐκ ἤθελε δυνάμενος.
what he-saw nor to-believe what not he-wished being-able
3.5 Ἀπορουμένου δὲ αὐτοῦ καὶ τρέμοντος ἡ γυνὴ μηδὲν
being-at-a-loss and he and trembling the wife nothing
ὑπονοοῦσα τῶν γεγονότων ἱκέτευεν εἰπεῖν τὴν αἰτίαν
suspecting of-the things-done begged to-tell the cause

τοῦ ∗∗∗ ὁ δ᾽ ὑφαίμοις τοῖς ὀφθαλμοῖς καὶ τραχεῖ
of-the (lacuna) he and with-bloodshot the eyes and harsh
τῷ φθέγματι "κλάω" φησὶ "τὴν ἐμαυτοῦ τύχην, ὅτι μου
the voice I-weep he-says the my-own fortune that me
ταχέως ἐπελάθου," καὶ τὸν κῶμον ὠνείδισεν.
quickly you-forgot and the revel he-reproached
Ἡ δὲ οἷα θυγάτηρ στρατηγοῦ καὶ φρονήματος πλήρης 3.6
she and as daughter of-a-general and of-spirit full
πρὸς τὴν ἄδικον διαβολὴν παρωξύνθη καὶ "οὐδεὶς ἐπὶ
at the unjust slander was-provoked and no-one at
τὴν πατρῴαν οἰκίαν ἐκώμασεν" εἶπε, "τὰ δὲ σὰ πρόθυρα
the paternal house reveled she-said the but your doorways
συνήθη τυχόν ἐστι τοῖς κώμοις, καὶ τὸ γεγαμηκέναι σε
accustomed perhaps are to-the revels and the to-have-married you
λυπεῖ τοὺς ἐραστάς." Ταῦτα εἰποῦσα ἀπεστράφη καὶ
grieves the lovers these-things having-said she-turned-away and
ἐγκαλυψαμένη δακρύων ἀφῆκε πηγάς.
having-veiled-herself of-tears let-loose springs
Εὔκολοι δὲ τοῖς ἐρῶσιν αἱ διαλλαγαὶ καὶ πᾶσαν 3.7
easy and for-those loving the reconciliations and every
ἀπολογίαν ἡδέως ἀλλήλων προσδέχονται. Μεταβαλλόμενος
excuse gladly from-each-other they-accept changing
οὖν ὁ Χαιρέας ἤρξατο κολακεύειν, καὶ ἡ γυνὴ ταχέως
then — Chaereas began to-coax and the wife quickly
αὐτοῦ τὴν μετάνοιαν ἠσπάζετο. Ταῦτα μᾶλλον ἐξέκαυσε
his the change-of-heart welcomed these-things more inflamed
τὸν ἔρωτα, καὶ οἱ ἀμφοτέρων αὐτῶν γονεῖς μακαρίους
the love and the of-both of-them parents blessed
αὐτοὺς ὑπελάμβανον τὴν τῶν τέκνων ὁρῶντες ὁμόνοιαν.
themselves considered the of-the children seeing concord

The suitor from Acragas tries a subtler plot. His parasite courts Callirhoe's favorite maid, and Chaereas is told he will catch an adulterer. Seeing the man slip in by night, he rushes in and kicks Callirhoe, who falls as if dead. Torturing the maids, he learns the truth. On trial he condemns himself, but Hermocrates pleads for him and the jurors acquit him. She is buried with a lavish funeral and rich offerings. The pirate Theron, who has eyed the gold at the funeral, gathers a crew to open the tomb by night and sell the plunder abroad.

4.1 Ὁ δ' Ἀκραγαντῖνος διαπεπτωκυίας αὐτῷ τῆς πρώτης
the and Acragantine having-failed for-him the first
τέχνης ἥπτετο λοιπὸν ἐνεργεστέρας κατασκευῆς *** τι
scheme took-hold-of thereafter of-a-more-effective contrivance (lacuna) something
τοιοῦτον. Ἦν αὐτῷ παράσιτος στωμύλος καὶ πάσης
such there-was to-him a-parasite glib and of-every
χάριτος ὁμιλητικῆς ἔμπλεως. Τοῦτον ἐκέλευσεν ὑποκριτὴν
grace social full this-one he-ordered an-actor
ἔρωτος γενέσθαι. τὴν ἄβραν γὰρ τῆς Καλλιρρόης καὶ
of-love to-become the favorite-maid for — of-Callirhoe and
τιμιωτάτην τῶν θεραπαινίδων προσπίπτων φιλεῖν ἐποίει.
most-valued of-the maidservants courting to-love he-made
4.2 μόλις οὖν ἔκειτο, πλὴν ὑπηγάγετο τὴν μείρακα μεγάλαις
with-difficulty then she-lay however he-won-over the girl with-great
δωρεαῖς τῷ τε λέγειν ἀπάγξεσθαι μὴ τυχὼν
gifts by-the and saying to-be-going-to-hang-himself not having-obtained
τῆς ἐπιθυμίας. Γυνὴ δὲ εὐάλωτόν ἐστιν, ὅταν ἐρᾶσθαι
the desire a-woman and easily-caught is whenever to-be-loved
δοκῇ. Ταῦτα οὖν προκατασκευασάμενος ὁ δημιουργὸς
she-thinks these-things then having-prepared-beforehand the author

τοῦ δράματος, ὑποκριτὴν ἕτερον ἐξεῦρεν, οὐκέτι ὁμοίως
of-the drama an-actor other found-out no-longer likewise
εὔχαριν, ἀλλὰ πανοῦργον καὶ ἀξιόπιστον λαλῆσαι.
charming but unscrupulous and credible to-talk
Τοῦτον προδιδάξας ἃ χρὴ πράττειν καὶ λέγειν, 4.3
this-one having-taught-beforehand what one-must to-do and to-say
ὑπέπεμψεν ἀγνῶτα τῷ Χαιρέᾳ. Προσελθὼν δὲ ἐκεῖνος αὐτῷ
he-sent-secretly unknown — to-Chaereas having-approached and he him
περὶ τὰς παλαίστρας ἀλύοντι "κἀμοὶ" φησὶν "υἱὸς ἦν, ὦ
around the wrestling-grounds loitering and-to-me he-says a-son was O
Χαιρέα, σὸς ἡλικιώτης, πάνυ σε θαυμάζων καὶ φιλῶν,
Chaereas your age-mate very-much you admiring and loving
ὅτε ἔζη. Τελευτήσαντος δὲ αὐτοῦ σὲ υἱὸν ἐμαυτοῦ νομίζω,
when he-lived having-died and he you as-son my-own I-consider
καὶ γὰρ εἶ κοινὸν ἀγαθὸν πάσης Σικελίας εὐτυχῶν.
and for you-are a-common good of-all Sicily prospering
Δὸς οὖν μοι σχολάζοντα σεαυτὸν καὶ ἀκούσῃ μεγάλα 4.4
give then to-me at-leisure yourself and you-will-hear great
πράγματα ὅλῳ τῷ βίῳ σου διαφέροντα." Τοιούτοις
matters whole for-the life your making-a-difference with-such
ῥήμασιν ὁ μιαρὸς ἐκεῖνος ἄνθρωπος τοῦ μειρακίου τὴν
words the foul that fellow of-the youth the
ψυχὴν ἀνακουφίσας καὶ μεστὸν ποιήσας ἐλπίδος καὶ
soul having-lifted-up and full having-made of-hope and
φόβου καὶ πολυπραγμοσύνης, δεομένου λέγειν ὤκνει καὶ
fear and curiosity asking to-speak hesitated and
προυφασίζετο μὴ εἶναι τὸν καιρὸν ἐπιτήδειον τὸν παρόντα,
pleaded not to-be the moment suitable the present
δεῖν δὲ ἀναβολῆς καὶ σχολῆς μακροτέρας.
to-need but delay and leisure longer

4.5 Ἐνέκειτο μᾶλλον ὁ Χαιρέας, ἤδη τι προσδοκῶν
pressed more — Chaereas already something expecting
βαρύτερον· ὁ δ' ἐμβαλὼν αὐτῷ τὴν δεξιὰν ἀπῆγεν εἴς
graver he and having-put in-his the right-hand led-away to
τι χωρίον ἠρεμαῖον, εἶτα συναγαγὼν τὰς ὀφρῦς καὶ
some spot quiet then having-drawn-together the brows and
ὅμοιος γενόμενος λυπουμένῳ, μικρὸν δέ τι καὶ δακρύσας
like having-become one-grieving little and a also having-wept
"ἀηδῶς μὲν" εἶπεν "ὦ Χαιρέα, σκυθρωπόν σοι πρᾶγμα
reluctantly indeed he-said O Chaereas gloomy to-you matter
μηνύω καὶ πάλαι βουλόμενος εἰπεῖν ὤκνουν· ἐπεὶ δὲ
I-reveal and for-long wishing to-speak I-was-hesitating since but
ἤδη φανερῶς ὑβρίζῃ καὶ θρυλεῖται πανταχοῦ τὸ
now openly you-are-insulted and is-bandied-about everywhere the
δεινόν, οὐχ ὑπομένω σιωπᾶν· φύσει τε γὰρ μισοπόνηρός
outrage not I-endure to-be-silent by-nature both for hating-wickedness
εἰμι καὶ σοὶ μάλιστα εὔνους.
I-am and to-you most well-disposed

4.6 Γίνωσκε τοίνυν μοιχευομένην σου τὴν γυναῖκα, καὶ ἵνα
know then being-seduced your the wife and so-that
τούτῳ πιστεύσῃς, ἕτοιμος ἐπ' αὐτοφώρῳ τὸν μοιχὸν
this you-may-believe ready in the-act the adulterer
δεικνύειν."
to-show

Ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα,
so he-spoke him and of-grief a-cloud covered black
ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
with-both and hands having-taken dust sooty
χεύατο κὰκ κεφαλῆς, χάριεν δ' ἤσχυνε πρόσωπον.
he-poured down-over head fair and disfigured face

Ἐπὶ πολὺ μὲν οὖν ἀχανὴς ἔκειτο, μήτε τὸ στόμα μήτε 4.7
for long indeed then dumbstruck he-lay neither the mouth nor
τοὺς ὀφθαλμοὺς ἐπᾶραι δυνάμενος· ἐπεὶ δὲ φωνὴν οὐχ
the eyes to-lift being-able when but voice not
ὁμοίαν μὲν ὀλίγην δὲ συνελέξατο, "δυστυχῆ μὲν" εἶπεν
the-same indeed little but he-gathered unhappy indeed he-said
"αἰτῶ παρὰ σοῦ χάριν αὐτόπτης γενέσθαι τῶν ἐμῶν
I-ask from you a-favor eyewitness to-become of-the my
κακῶν· ὅμως δὲ δεῖξον, ὅπως εὐλογώτερον ἐμαυτὸν ἀνέλω·
evils still but show so-that with-better-reason myself I-may-kill
Καλλιρρόης γὰρ καὶ ἀδικούσης φείσομαι."
Callirhoe for even doing-wrong I-will-spare
"Προσποίησαι" φησὶν "ὡς εἰς ἀγρὸν ἀπιέναι, 4.8
pretend he-says as-though to the-country to-be-going-away
βαθείας δὲ ἑσπέρας παραφύλαττε τὴν οἰκίαν· ὄψει
late and evening watch the house you-will-see
γὰρ εἰσιόντα τὸν μοιχόν." Συνέθεντο ταῦτα, καὶ ὁ μὲν
for going-in the adulterer they-agreed these-things and — indeed
Χαιρέας πέμψας (οὐ γὰρ αὐτὸς ὑπέμεινεν οὐδὲ εἰσελθεῖν)
Chaereas having-sent not for himself he-could-bear even to-go-in
"ἄπειμι" φησὶν "εἰς ἀγρόν·" ὁ δὲ κακοήθης ἐκεῖνος
I-am-going-away he-says to the-country the and malicious that
καὶ διάβολος συνέταττε τὴν σκηνήν.
and slanderer was-arranging the scene
Ἑσπέρας οὖν ἐπιστάσης ὁ μὲν ἐπὶ τὴν κατασκοπὴν 4.9
evening then having-come-on the-one indeed for the spying
ἦλθεν, ὁ δὲ τὴν ἄβραν τῆς Καλλιρρόης διαφθείρας
came the-other and the favorite-maid — of-Callirhoe having-corrupted
ἐνέβαλεν εἰς τὸν στενωπόν, ὑποκρινόμενος μὲν τὸν
turned-in into the alley acting indeed the-one
λαθραίοις ἔργοις ἐπιχειρεῖν προαιρούμενον, πάντα
secret deeds to-attempt choosing everything

δὲ μηχανώμενος ἵνα μὴ λάθοι· κόμην εἶχε
but contriving so-that not he-might-escape-notice hair he-had
λιπαρὰν καὶ βοστρύχους μύρων ἀποπνέοντας, ὀφθαλμοὺς
glossy and curls of-perfumes breathing eyes
ὑπογεγραμμένους, ἱμάτιον μαλακόν, ὑπόδημα λεπτόν·
painted-underneath a-cloak soft a-shoe fine
δακτύλιοι βαρεῖς ὑπέστιλβον. Εἶτα πολὺ περιβλεψάμενος
rings heavy gleamed then much having-looked-around
τῇ θύρᾳ προσῆλθε, κρούσας δὲ ἐλαφρῶς τὸ εἰωθὸς
to-the door he-came having-knocked and lightly the usual
ἔδωκε σημεῖον.
gave signal

4.10 Ἡ δὲ θεράπαινα καὶ αὐτὴ περίφοβος ἠρέμα παρανοίξασα
the and maidservant also herself terrified quietly having-opened-a-little
καὶ λαβομένη τῆς χειρὸς εἰσήγαγε. Ταῦτα θεασάμενος
and having-taken the hand led-in these-things having-seen
Χαιρέας οὐκέτι κατέσχεν ἀλλὰ εἰσέδραμεν ἐπ᾽ αὐτοφώρῳ
Chaereas no-longer held-back but ran-in in the-act
τὸν μοιχὸν ἀναιρήσων.
the adulterer going-to-kill

4.11 Ὁ μὲν οὖν παρὰ τὴν αὔλειον θύραν ὑποστὰς εὐθὺς
the-one indeed then beside the courtyard door having-lurked at-once
ἐξῆλθεν, ἡ δὲ Καλλιρρόη καθῆστο ἐπὶ τῆς κλίνης ζητοῦσα
went-out — but Callirhoe was-sitting on the couch seeking
Χαιρέαν καὶ μηδὲ λύχνον ἅψασα διὰ τὴν λύπην·
Chaereas and not-even a-lamp having-lit because-of the grief
ψόφου δὲ ποδῶν γενομένου πρώτη τοῦ ἀνδρὸς ᾔσθετο
a-sound and of-feet having-come first of-the husband she-perceived
τὴν ἀναπνοὴν καὶ χαίρουσα αὐτῷ προσέδραμεν.
the breathing and rejoicing to-him ran-up

Ὁ δὲ φωνὴν μὲν οὐκ ἔσχεν ὥστε λοιδορήσασθαι, 4.12
he and voice indeed not had so-as to-revile
κρατούμενος δὲ ὑπὸ τῆς ὀργῆς ἐλάκτισε προσιοῦσαν.
overpowered but by the anger kicked her-approaching
Εὐστόχως οὖν ὁ ποῦς κατὰ τοῦ διαφράγματος ἐνεχθεὶς
well-aimed then the foot against the diaphragm having-been-borne
ἐπέσχε τῆς παιδὸς τὴν ἀναπνοήν, ἐρριμμένην δὲ αὐτὴν
stopped of-the girl the breath lying-flung and her
αἱ θεραπαινίδες βαστάσασαι κατέκλιναν ἐπὶ τὴν κοίτην.
the maidservants having-lifted laid on the bed
Καλλιρρόη μὲν οὖν ἄφωνος καὶ ἄπνους ἔκειτο νεκρᾶς 5.1
Callirhoe indeed then voiceless and breathless lay of-a-dead-woman
εἰκόνα πᾶσι παρέχουσα, Φήμη δὲ ἄγγελος τοῦ πάθους
an-image to-all presenting Report and messenger of-the calamity
καθ' ὅλην τὴν πόλιν διέτρεχεν, οἰμωγὴν ἐγείρουσα διὰ
throughout whole the city ran-about lamentation rousing through
τῶν στενωπῶν ἄχρι τῆς θαλάττης· καὶ πανταχόθεν ὁ
the alleys as-far-as the sea and from-everywhere the
θρῆνος ἠκούετο, καὶ τὸ πρᾶγμα ἐῴκει πόλεως ἁλώσει.
wailing was-heard and the thing resembled of-a-city the-capture
Χαιρέας δὲ ἔτι τῷ θυμῷ ζέων δι' ὅλης τῆς νυκτὸς
Chaereas and still with-the anger seething through whole the night
ἀποκλείσας ἑαυτὸν ἐβασάνιζε τὰς θεραπαινίδας, πρώτην
having-shut-in himself tortured the maidservants first
δὲ καὶ τελευταίαν τὴν ἄβραν.
and and last the favorite-maid
Ἔτι δὲ καομένων καὶ τεμνομένων αὐτῶν ἔμαθε τὴν 5.2
still and being-burned and being-cut they he-learned the
ἀλήθειαν. Τότε ἔλεος αὐτὸν εἰσῆλθε τῆς ἀποθανούσης καὶ
truth then pity him came-into for-the one-who-died and
ἀποκτεῖναι μὲν ἑαυτὸν ἐπεθύμει, Πολύχαρμος δ' ἐκώλυε,
to-kill indeed himself desired Polycharmus but prevented

φίλος ἐξαίρετος τοιοῦτος, οἷον Ὅμηρος ἐποίησε Πάτροκλον
a-friend special such as Homer made Patroclus
Ἀχιλλέως. Ἡμέρας δὲ γενομένης οἱ ἄρχοντες ἐκλήρουν
of-Achilles day and having-come the magistrates chose-by-lot
δικαστήριον τῷ φονεῖ, διὰ τὴν πρὸς Ἑρμοκράτην
a-court for-the murderer because-of the toward Hermocrates
τιμὴν ἐπισπεύδοντες τὴν κρίσιν.
respect hastening the trial

5.3 Ἀλλὰ καὶ ὁ δῆμος ἅπας εἰς τὴν ἀγορὰν συνέτρεχεν,
but also the people whole into the market-place ran-together
ἄλλων ἄλλα κεκραγότων· ἐδημοκόπουν δὲ οἱ τῆς
others other-things shouting courted-the-mob and those of-the
μνηστείας ἀποτυχόντες καὶ ὁ Ἀκραγαντῖνος ὑπὲρ ἅπαντας,
courtship having-failed and the Acragantine beyond all
λαμπρός τε καὶ σοβαρός, οἷον διαπραξάμενος ἔργον ὃ
splendid both and swaggering as-one having-accomplished a-deed which
μηδεὶς ἂν προσεδόκησε.
no-one — would-have-expected

5.4 Συνέβη δὲ πρᾶγμα καινὸν καὶ ἐν δικαστηρίῳ μηδεπώποτε
happened and a-thing new and in a-court never-before
πραχθέν· ῥηθείσης γὰρ τῆς κατηγορίας ὁ φονεὺς
done having-been-spoken for the accusation the murderer
μετρηθέντος αὐτῷ τοῦ ὕδατος ἀντὶ τῆς ἀπολογίας αὐτοῦ
having-been-measured for-him the water instead-of the defense himself
κατηγόρησε πικρότερον καὶ πρῶτος τὴν καταδικάζουσαν
accused more-bitterly and first the condemning
ψῆφον ἤνεγκεν, οὐδὲν εἰπὼν τῶν πρὸς τὴν ἀπολογίαν
vote cast nothing having-said of-the toward the defense
δικαίων, οὐ τὴν διαβολήν, οὐ τὴν ζηλοτυπίαν, οὐ τὸ
just-pleas not the slander not the jealousy not the

ἀκούσιον, ἀλλ᾽ ἐδεῖτο πάντων “δημοσίᾳ με καταλεύσατε·
involuntariness but begged all publicly me stone
ἀπεστεφάνωσα τὸν δῆμον.
I-stripped-of-its-crown the people
Φιλάνθρωπόν ἐστιν ἂν παραδῶτέ με δημίῳ. Τοῦτο 5.5
humane it-is if you-hand-over me to-the-executioner this
ὤφειλον ἂν παθεῖν, εἰ καὶ θεραπαινίδα Ἑρμοκράτους
I-ought — to-suffer if even a-maidservant of-Hermocrates
ἀπέκτεινα. Τρόπον ζητήσατε κολάσεως ἀπόρρητον. Χείρονα
I-had-killed a-manner seek of-punishment unspeakable worse
δέδρακα ἱεροσύλων καὶ πατροκτόνων. Μὴ θάψητέ με, μὴ
I-have-done than-temple-robbers and parricides not bury me not
μιάνητε τὴν γῆν, ἀλλὰ τὸ ἀσεβὲς καταποντώσατε σῶμα.”
defile the earth but the impious sink-in-the-sea body
Ταῦτα λέγοντος θρῆνος ἐξερράγη, καὶ πάντες ἀφέντες τὴν 5.6
these-things saying wailing broke-out and all having-left the
νεκρὰν τὸν ζῶντα ἐπένθουν. Ἑρμοκράτης συνηγόρησε
dead-woman the living-man mourned Hermocrates spoke-in-defense
Χαιρέᾳ πρῶτος. “Ἐγὼ” φησὶν “ἐπίσταμαι τὸ συμβὰν
for-Chaereas first I he-says know the event
ἀκούσιον ὄν. Βλέπω τοὺς ἐπιβουλεύοντας ἡμῖν. Οὐκ
involuntary being I-see those plotting-against us not
ἐφησθήσονται δυσὶ νεκροῖς, οὐδὲ λυπήσω τεθνεῶσαν τὴν
they-will-gloat over-two corpses nor I-will-grieve dead the
θυγατέρα.
daughter
Ἤκουσα λεγούσης αὐτῆς πολλάκις ὅτι αὐτῆς μᾶλλον 5.7
I-heard saying her often that than-herself rather
θέλει Χαιρέαν ζῆν. Παύσαντες οὖν τὸ περισσὸν
she-wishes Chaereas to-live having-stopped then the superfluous
δικαστήριον ἐπὶ τὸν ἀναγκαῖον ἀπίωμεν τάφον. Μὴ
court to the necessary let-us-go burial not

παραδῶμεν χρόνῳ τὴν νεκράν, μηδὲ ἄμορφον τῇ παρολκῇ
let-us-hand-over to-time the dead nor unsightly by-the delay
ποιήσωμεν τὸ σῶμα. Θάψωμεν Καλλιρρόην ἔτι καλήν."
let-us-make the body let-us-bury Callirhoe still beautiful

6.1 Οἱ μὲν οὖν δικασταὶ τὴν ἀπολύουσαν ψῆφον ἔθεσαν,
the indeed then jurors the acquitting vote cast
Χαιρέας δὲ οὐκ ἀπέλυεν ἑαυτόν, ἀλλ' ἐπεθύμει θανάτου
Chaereas but not acquitted himself but desired death
καὶ πάσας ὁδοὺς ἐμηχανᾶτο τῆς τελευτῆς. Πολύχαρμος
and all ways he-contrived of-the end Polycharmus
δὲ ὁρῶν ἄλλως ἀδύνατον ἑαυτῷ τὴν σωτηρίαν "προδότα"
and seeing otherwise impossible for-him the rescue traitor
φησὶ "τῆς νεκρᾶς, οὐδὲ θάψαι Καλλιρρόην ὑπομενεῖς;
he-says of-the dead-woman not-even to-bury Callirhoe will-you-bear
ἀλλοτρίαις χερσὶ τὸ σῶμα πιστεύεις; Καιρός ἐστί σοι
to-others' hands the body you-entrust time it-is for-you
νῦν ἐνταφίων ἐπιμελεῖσθαι πολυτελείας καὶ τὴν ἐκκομιδὴν
now of-funeral-gifts to-take-care of-lavishness and the procession
κατασκευάσαι βασιλικήν." Ἔπεισεν οὗτος ὁ λόγος·
to-prepare royal persuaded this the word
ἐνέβαλε γὰρ φιλοτιμίαν καὶ φροντίδα.
put-in for ambition and concern

6.2 Τίς ἂν οὖν ἀπαγγεῖλαι δύναιτο κατ' ἀξίαν τὴν ἐκκομιδὴν
who — then to-report could according-to worth the procession
ἐκείνην; Κατέκειτο μὲν Καλλιρρόη νυμφικὴν ἐσθῆτα
that lay indeed Callirhoe bridal dress
περικειμένη καὶ ἐπὶ χρυσηλάτου κλίνης μείζων τε καὶ
wearing and on of-beaten-gold a-couch greater both and
κρείττων, ὥστε πάντες εἴκαζον αὐτὴν Ἀριάδνῃ καθευδούσῃ.
fairer so-that all compared her to-Ariadne sleeping

Προῄεσαν δὲ τῆς κλίνης πρῶτοι μὲν οἱ Συρακουσίων ἱππεῖς 6.3
went-before and the couch first indeed the of-Syracusans cavalrymen
αὐτοῖς ἵπποις κεκοσμημένοι, μετὰ τούτους ὁπλῖται φέροντες
with-their horses adorned after these hoplites carrying
τὰ σημεῖα τῶν Ἑρμοκράτους τροπαίων, εἶτα ἡ βουλή, καὶ
the standards of-the of-Hermocrates trophies then the council and
ἐν μέσῳ τῷ δήμῳ πάντες οἱ Ἑρμοκράτην δορυφοροῦντες·
in the-middle of-the people all the Hermocrates guarding
ἐφέρετο δὲ καὶ Ἀρίστων, ἔτι νοσῶν, θυγατέρα καὶ κυρίαν
was-carried and also Ariston still being-sick daughter and mistress
Καλλιρρόην ἀποκαλῶν. Ἐπὶ τούτοις αἱ γυναῖκες τῶν
Callirhoe calling after these the women of-the
πολιτῶν μελανείμονες, εἶτα πλοῦτος ἐνταφίων βασιλικός·
citizens in-black then wealth of-funeral-gifts royal
πρῶτος μὲν ὁ τῆς φερνῆς χρυσός τε καὶ ἄργυρος καὶ 6.4
first indeed the of-the dowry gold both and silver and
ἐσθήτων κάλλος καὶ κόσμος (συνέπεμψε δὲ Ἑρμοκράτης
of-garments beauty and finery sent-along and Hermocrates
πολλὰ ἐκ τῶν λαφύρων) συγγενῶν τε δωρεαὶ καὶ φίλων,
many-things from the spoils of-relatives both gifts and of-friends
τελευταῖος δὲ ὁ Χαιρέου πλοῦτος· ἐπεθύμει γάρ, εἰ δυνατὸν
last and the of-Chaereas wealth he-desired for if possible
ἦν, πᾶσαν τὴν οὐσίαν συγκαταφλέξαι τῇ γυναικί.
it-were all the property to-burn-together with-the wife
Ἔφερον δὲ τὴν κλίνην οἱ Συρακουσίων ἔφηβοι, καὶ 6.5
carried and the couch the of-Syracusans young-men and
ἐπηκολούθει τὸ πλῆθος. Πάντων δὲ θρηνούντων μάλιστα
followed the crowd all and lamenting most
Χαιρέας ἠκούετο. Ἦν δὲ τάφος μεγαλοπρεπὴς Ἑρμοκράτους
Chaereas was-heard was and a-tomb magnificent of-Hermocrates
πλησίον τῆς θαλάσσης, ὥστε καὶ τοῖς πόρρωθεν πλέουσι
near the sea so-that even to-those from-afar sailing

περίβλεπτος εἶναι· τοῦτον ὥσπερ θησαυρὸν ἐπλήρωσεν ἡ
conspicuous to-be this like a-treasury filled the
τῶν ἐνταφίων πολυτέλεια. Τὸ δὲ δοκοῦν εἰς τιμὴν τῆς
of-the funeral-gifts lavishness the but thing-seeming for honor of-the
νεκρᾶς γεγονέναι μειζόνων πραγμάτων ἐκίνησεν ἀρχήν.
dead-woman to-have-been-done of-greater events set-in-motion a-beginning
7.1 Θήρων γάρ τις ἦν, πανοῦργος ἄνθρωπος, ἐξ ἀδικίας
Theron for a-certain was villainous fellow from wrongdoing
πλέων τὴν θάλασσαν καὶ λῃστὰς ἔχων ἐφορμοῦντας τοῖς
sailing the sea and pirates having lying-in-wait at-the
λιμέσιν. Ὀνόματι πορθμείου πειρατήριον συγκροτῶν οὗτος,
harbors in-name of-a-ferry a-pirate-band organizing this-man
τῇ ἐκκομιδῇ παρατυχὼν ἐπωφθαλμίασε τῷ χρυσῷ καὶ
at-the procession having-been-present cast-an-eye-on the gold and
νύκτωρ κατὰ κλίνης οὐκ ἐκοιμᾶτο λέγων πρὸς ἑαυτὸν "ἀλλ'
by-night on his-bed not he-slept saying to himself but
ἐγὼ κινδυνεύω μαχόμενος τῇ θαλάσσῃ καὶ τοὺς ζῶντας
I run-risks fighting with-the sea and the living
ἀποκτείνων ἕνεκα λημμάτων μικρῶν, ἐξὸν πλουτῆσαι
killing for-the-sake of-gains small it-being-possible to-get-rich
παρὰ μιᾶς νεκρᾶς. Ἀνερρίφθω κύβος· οὐκ ἀφήσω τὸ
from one dead-woman let-be-thrown the-die not I-will-let-go the
κέρδος. Τίνας δ' οὖν ἐπὶ τὴν πρᾶξιν στρατολογήσω;
profit whom and then for the deed shall-I-enlist
Σκέψαι, Θήρων, τίς ἐπιτήδειος ὢν οἶδας. Ζηνοφάνης
consider Theron who suitable of-those-whom you-know Zenophanes
ὁ Θούριος; Συνετὸς μὲν ἀλλὰ δειλός. Μένων ὁ
the Thurian clever indeed but cowardly Menon the
Μεσσήνιος; Τολμηρὸς μὲν ἀλλὰ προδότης." Ἐπεξιὼν δὲ
Messenian bold indeed but a-traitor going-through and
τῷ λογισμῷ καθέκαστον, ὥσπερ ἀργυρογνώμων, πολλοὺς
in-the reckoning each-one like an-assayer many

ἀποδοκιμάσας, ὅμως ἔδοξε τινὰς ἐπιτηδείους. Ἕωθεν οὖν
having-rejected still thought some suitable at-dawn then
διατρέχων εἰς τὸν λιμένα, ἕκαστον αὐτῶν ἀνεζήτει. Εὗρε
running-through to the harbor each of-them sought-out he-found
δ' ἐνίους μὲν ἐν πορνείοις, τοὺς δ' ἐν καπηλείοις, οἰκεῖον
and some indeed in brothels others and in taverns fitting
στρατὸν τοιούτῳ στρατηγῷ. Φήσας οὖν ἔχειν τι
army for-such a-general having-said then to-have something
διαλεχθῆναι πρὸς αὐτοὺς ἀναγκαῖον, κατόπιν τοῦ λιμένος
to-discuss with them urgent behind the harbor
ἀπήγαγε καὶ τούτων ἤρξατο τῶν λόγων "ἐγὼ θησαυρὸν
he-led-them-off and with-these began the words I a-treasure
εὑρὼν ὑμᾶς κοινωνοὺς εἱλόμην ἐξ ἁπάντων· οὐ γάρ
having-found you as-partners chose out-of all not for
ἐστιν ἑνὸς τὸ κέρδος, οὐδὲ πόνου πολλοῦ δεόμενον, ἀλλὰ
is for-one the profit nor toil much needing but
μία νὺξ δύναται ποιῆσαι πάντας ἡμᾶς πλουσίους. Οὐκ
one night can to-make all us rich not
ἄπειροι δ' ἐσμὲν τοιούτων ἐπιτηδευμάτων, ἃ παρὰ
inexperienced and we-are of-such practices which among
μὲν τοῖς ἀνοήτοις ἀνθρώποις ἔχει διαβολήν, ὠφέλειαν
indeed the foolish people have ill-repute profit
δὲ τοῖς φρονίμοις δίδωσι." Συνῆκαν εὐθὺς ὅτι λῃστείαν
but to-the sensible give they-understood at-once that piracy
ἢ τυμβωρυχίαν ἢ ἱεροσυλίαν καταγγέλλει, καὶ "παῦσαι"
or tomb-robbing or temple-robbing he-proclaims and stop
ἔφασαν "πείθων τοὺς πεπεισμένους ἤδη καὶ μόνον μήνυε
they-said persuading those persuaded already and only reveal
τὴν πρᾶξιν, καὶ τὸν καιρὸν μὴ παραπολλύωμεν." Ὁ
the deed and the moment not let-us-waste —
δὲ Θήρων ἔνθεν ἑλὼν "ἑωράκατε" φησὶ "τὸν χρυσὸν
and Theron from-there taking-up you-have-seen he-says the gold

καὶ ἄργυρον τῆς νεκρᾶς. Οὗτος ἡμῶν τῶν ζώντων
and silver of-the dead-woman this-(gold) of-us the living
δικαιότερον γένοιτ' ἄν. Δοκεῖ δή μοι νυκτὸς ἀνοῖξαι
more-justly would-become — seems-good indeed to-me by-night to-open
τὸν τάφον, εἶτα ἐνθεμένους τῷ κέλητι, πλεύσαντας ὅποι
the tomb then having-put-it in-the boat having-sailed wherever
ποτ' ἂν φέρῃ τὸ πνεῦμα διαπωλῆσαι τὸν φόρτον ἐπὶ
ever — carries the wind to-sell-off the cargo in
ξένης." Ἤρεσε. "Νῦν μὲν οὖν" φησὶ "τρέπεσθε ἐπὶ
a-foreign-land it-pleased now indeed then he-says turn to
τὰς συνήθεις διατριβάς· βαθείας δὲ ἑσπέρας ἕκαστος ἐπὶ
the usual haunts late and evening each to
τὸν κέλητα κατίτω κομίζων οἰκοδομικὸν ὄργανον."
the boat let-come-down bringing builder's tool

III · THE TOMB ROBBERS

Callirhoe revives in the tomb and cries for help in vain. At midnight Theron's men break in, and she begs for mercy. Theron takes her as part of the plunder. One robber proposes returning her to her family, another killing her, but Theron decides to sell her, and she laments that she is carried off to slavery. Anchored off Attica, Theron will not risk Athens, a city too curious about strangers, and steers for Ionia. On the third day they reach an anchorage eighty stades from Miletus.

8.1 Οὗτοι μὲν δὴ ταῦτα ἔπραττον· τὰ δὲ περὶ Καλλιρρόην
these indeed then these-things were-doing the and around Callirhoe
δευτέραν ἄλλην ἐλάμβανε παλιγγενεσίαν, καί τινος
a-second other was-taking rebirth and some
ἀνέσεως ταῖς ἀποληφθείσαις ἀναπνοαῖς ἐκ τῆς ἀσιτίας
relief to-the cut-off breathings from the lack-of-food
ἐγγενομένης μόλις καὶ κατ' ὀλίγον ἀνέπνευσεν· ἔπειτα
having-arisen with-difficulty and by little she-breathed-again then

κινεῖν ἤρξατο κατὰ μέλη τὸ σῶμα, διανοίγουσα δὲ τοὺς
to-move she-began by limbs the body opening and the
ὀφθαλμοὺς αἴσθησιν ἐλάμβανεν ἐγειρομένης ἐξ ὕπνου καὶ
eyes perception she-took of-one-waking from sleep and
ὡς συγκαθεύδοντα Χαιρέαν ἐκάλεσεν.
as-if sleeping-beside-her Chaereas she-called
Ἐπεὶ δὲ οὔτε ὁ ἀνὴρ οὔτε αἱ θεραπαινίδες ἤκουον, πάντα 8.2
when but neither the husband nor the maidservants heard all
δὲ ἦν ἐρημία καὶ σκότος, φρίκη καὶ τρόμος τὴν παῖδα
and was desolation and darkness shuddering and trembling the girl
κατελάμβανεν οὐ δυναμένην τῷ λογισμῷ συμβαλεῖν τὴν
seized not able by-the reasoning to-make-out the
ἀλήθειαν, μόλις δὲ ἀνεγειρομένη στεφάνων προσήψατο
truth with-difficulty and rising garlands she-touched
καὶ ταινιῶν καὶ ψόφον ἐποίει χρυσοῦ τε καὶ ἀργύρου·
and ribbons and a-noise she-made of-gold both and of-silver
πολλὴ δὲ ἦν ἀρωμάτων εὐωδία.
much and was of-spices fragrance
Τότ' οὖν ἀνεμνήσθη τοῦ λακτίσματος καὶ τοῦ δι' 8.3
at-that-time then she-remembered the kick and the through
ἐκεῖνο πτώματος, μόλις τε τὸν ἐκ τῆς ἀγωνίας
that fall with-difficulty and the from the anguish
ἐνόησε τάφον. Ἔρρηξεν οὖν φωνήν, ὅσην ἐδύνατο
perceived tomb she-let-out then a-cry as-great-as she-could
"σώζετε, βοηθεῖτε." Ἐπεὶ δὲ πολλάκις αὐτῆς κεκραγυίας
save help when but many-times she having-cried-out
οὐδὲν ἐγίνετο πλέον, ἀπήλπισεν ἤδη τὴν σωτηρίαν καὶ
nothing came more she-despaired-of now the rescue and
ἐνθεῖσα τοῖς γόνασι τὴν κεφαλὴν ἐθρήνει λέγουσα "οἴμοι
having-put on-the knees the head she-lamented saying alas

τῶν κακῶν· ζῶσα κατορώρυγμαι μηδὲν ἀδικοῦσα καὶ
for-the evils alive I-have-been-buried nothing doing-wrong and
ἀποθνήσκω θάνατον μακρόν.
I-die a-death long

8.4 Ὑγιαίνουσάν με πενθοῦσι. Τίνα τίς ἄγγελον πέμψει; Ἄδικε
being-well me they-mourn whom who as-messenger will-send unjust
Χαιρέα, μέμφομαί σε οὐχ ὅτι με ἀπέκτεινας, ἀλλ' ὅτι με
Chaereas I-blame you not that me you-killed but that me
ἔσπευσας ἐκβαλεῖν τῆς οἰκίας. Οὐκ ἔδει σε ταχέως
you-hastened to-cast-out of-the house not it-was-necessary you quickly
θάψαι Καλλιρρόην οὐδ' ἀληθῶς ἀποθανοῦσαν. Ἀλλ' ἤδη
to-bury Callirhoe not-even truly having-died but already
τάχα τι βουλεύῃ περὶ γάμου."
perhaps something you-are-planning about a-marriage

9.1 Κἀκείνη μὲν ἐν ποικίλοις ἦν ὀδυρμοῖς· ὁ δὲ Θήρων
and-she indeed in varied was laments — and Theron
φυλάξας αὐτὸ τὸ μεσονύκτιον ἀψοφητὶ προσῄει τῷ τάφῳ,
having-waited-for the-very — midnight noiselessly approached the tomb
κούφως ταῖς κώπαις ἁπτόμενος τῆς θαλάσσης. Ἐκβαίνων
lightly with-the oars touching the sea disembarking
δὲ πρῶτον ἐπέταξε τὴν ὑπηρεσίαν τὸν τρόπον τοῦτον.
and first he-assigned the crew in-the manner this

9.2 Τέσσαρας μὲν ἀπέστειλεν ἐπὶ κατασκοπήν, εἴ τινες
four indeed he-sent-off for scouting if any
προσίοιεν εἰς τὸν τόπον, εἰ μὲν δύναιντο, φονεύειν· εἰ
should-approach to the place if indeed they-could to-kill if
δὲ μή, συνθήματι μηνύειν τὴν ἄφιξιν αὐτῶν· πέμπτος δὲ
but not by-a-signal to-report the arrival of-them fifth and
αὐτὸς προσῄει τῷ τάφῳ. Τοὺς δὲ λοιποὺς (ἦσαν γὰρ οἱ
himself approached the tomb the and rest were for the
σύμπαντες ἑκκαίδεκα) μένειν ἐπὶ τοῦ κέλητος ἐκέλευσε καὶ
all-together sixteen to-stay on the boat he-ordered and

τὰς κώπας ἔχειν ἐπτερωμένας, ἵνα, ἐάν τι αἰφνίδιον
the oars to-have poised so-that if anything sudden
συμβαίνῃ, ταχέως τοὺς ἀπὸ γῆς ἁρπάσαντες ἀποπλεύσωσιν.
should-happen quickly those from land having-snatched-up they-might-sail-off
Ἐπεὶ δὲ μοχλοὶ προσηνέχθησαν καὶ σφοδροτέρα πληγὴ πρὸς 9.3
when and crowbars were-applied and more-violent blow for
τὴν ἀνάρρηξιν τοῦ τάφου, τὴν Καλλιρρόην κατελάμβανεν
the breaking-open of-the tomb — Callirhoe seized
ὁμοῦ πάντα, φόβος, χαρά, λύπη, θαυμασμός, ἐλπίς, ἀπιστία.
together all fear joy grief wonder hope disbelief
“Πόθεν ὁ ψόφος; Ἆρά τις δαίμων κατὰ νόμον κοινὸν
whence the noise is-it-that some spirit according-to a-law common
τῶν ἀποθνησκόντων ἐπ᾽ ἐμὲ παραγίνεται τὴν ἀθλίαν; Ἢ
of-the dying for me comes the wretched or
ψόφος οὐκ ἔστιν, ἀλλὰ φωνὴ καλούντων με τῶν ὑποχθονίων
a-noise not is but a-voice calling me of-the ones-below-the-earth
πρὸς αὑτούς; Τυμβωρύχους μᾶλλον εἰκὸς εἶναι· καὶ γὰρ τοῦτό
to themselves tomb-robbers rather likely to-be also for this
μου ταῖς συμφοραῖς προσετέθη· πλοῦτος ἄχρηστος νεκρῷ.”
my to-the misfortunes was-added wealth useless to-a-corpse
Ταῦτα ἔτι λογιζομένης αὐτῆς προύβαλε τὴν κεφαλὴν 9.4
these-things still reckoning she thrust-forward the head
ὁ λῃστὴς καὶ κατὰ μικρὸν εἰσεδύετο. Καλλιρρόη δ᾽
the robber and by little was-slipping-in Callirhoe and
αὐτῷ προσέπεσε, βουλομένη δεηθῆναι· κἀκεῖνος φοβηθεὶς
to-him fell-at-his-feet wishing to-beg and-he frightened
ἐξεπήδησε, τρέμων δὲ πρὸς τοὺς ἑταίρους ἐφθέγξατο
leapt-out trembling and to the companions he-cried
“φεύγωμεν ἐντεῦθεν· δαίμων γάρ τις φυλάττει τὰ ἔνδον
let-us-flee from-here a-spirit for some guards the-things inside
καὶ εἰσελθεῖν ἡμῖν οὐκ ἐπιτρέπει.” Κατεγέλασε Θήρων,
and to-enter us not allows laughed-at-him Theron

δειλὸν εἰπὼν καὶ νεκρότερον τῆς τεθνεώσης, εἶτα
coward having-called-him and deader than-the dead-woman then
ἐκέλευσε ἄλλον εἰσελθεῖν.
ordered another to-enter

9.5 Ἐπεὶ δὲ οὐδεὶς ὑπέμενεν, αὐτὸς εἰσῆλθε προβαλλόμενος τὸ
when but no-one would-endure himself entered holding-out the
ξίφος. Λάμψαντος δὲ τοῦ σιδήρου, δείσασα ἡ Καλλιρρόη,
sword having-flashed and the iron having-feared — Callirhoe
μὴ φονευθῇ, πρὸς τὴν γωνίαν ἐξέτεινεν ἑαυτὴν κἀκεῖθεν
lest she-be-killed to the corner stretched herself and-from-there
ἱκέτευε, λεπτὴν ἀφιεῖσα φωνήν "ἐλέησον, ὅστις ποτ'
begged a-thin letting-out voice pity whoever ever
εἶ, τὴν οὐκ ἐλεηθεῖσαν ὑπ' ἀνδρὸς οὐδὲ γονέων· μὴ
you-are the-one not pitied by husband nor parents not
ἀποκτείνῃς ἣν σέσωκας."
kill whom you-have-saved

9.6 Μᾶλλον ἐθάρρησεν ὁ Θήρων καὶ οἷα δεινὸς ἀνὴρ ἐνόησε τὴν
more took-courage — Theron and as a-clever man perceived the
ἀλήθειαν· ἔστη δὲ σύννους καὶ τὸ μὲν πρῶτον ἐβουλεύσατο
truth he-stood and thoughtful and the indeed first he-planned
κτεῖναι τὴν γυναῖκα, νομίζων ἐμπόδιον ἔσεσθαι τῆς ὅλης
to-kill the woman thinking an-obstacle to-be-going-to-be to-the whole
πράξεως· ταχεῖα δὲ διὰ τὸ κέρδος ἐγένετο μετάνοια
deed quick but because-of the profit came change-of-mind
καὶ πρὸς αὑτὸν εἶπεν "ἔστω καὶ αὐτὴ τῶν ἐνταφίων
and to himself he-said let-be also she of-the funeral-gifts
μέρος· πολὺς μὲν ἄργυρος ἐνταῦθα πολὺς δὲ χρυσός,
a-part much indeed silver here much and gold
τούτων δὲ πάντων τὸ τῆς γυναικὸς τιμιώτερον κάλλος."
than-these but all the of-the woman more-precious beauty

Λαβόμενος οὖν τῆς χειρὸς ἐξήγαγεν αὐτήν, εἶτα καλέσας 9.7
having-taken then the hand he-led-out her then having-called
τὸν συνεργὸν "ἰδοὺ" φησὶν "ὁ δαίμων, ὃν ἐφοβοῦ· καλός
ἐπειρᾶτο. Οἷα δὲ πεπαιδευμένος ἀνὴρ καὶ ἐξαιρέτως ἀρετῆς
he-tried as and educated a-man and especially virtue
ἀντιποιούμενος, μήτε τοῖς οἰκέταις ἐθέλων εὐκαταφρόνητος
laying-claim-to neither to-the servants wishing contemptible

δοκεῖν μήτε μειρακιώδης τοῖς φίλοις, διεκαρτέρει παρ'
to-seem nor boyish to-the friends he-held-out through
ὅλην τὴν ἑσπέραν, οἰόμενος μὲν λανθάνειν, κατάδηλος
whole the evening thinking indeed to-escape-notice evident
δὲ γινόμενος ἐκ τῆς σιωπῆς.
but becoming from the silence

4.2 Μοῖραν δέ τινα λαβόμενος ἀπὸ τοῦ δείπνου "ταύτην"
a-portion and some having-taken from the dinner this
φησὶ "κομισάτω τις τῇ ξένῃ. Μὴ εἴπητε δὲ ὅτι παρὰ
he-says let-take someone to-the stranger not say and that from
τοῦ κυρίου, ἀλλ' ὅτι παρὰ Διονυσίου." Τὸν μὲν οὖν πότον
the lord but that from Dionysius the indeed then drinking
προήγαγεν ἐπὶ πλεῖστον· ἠπίστατο γὰρ ὅτι οὐ μέλλει
prolonged to the-utmost he-knew for that not he-is-going
καθεύδειν. Ἀγρυπνεῖν οὖν ἐβούλετο μετὰ τῶν φίλων.
to-sleep to-stay-awake then he-wished with the friends

4.3 Ἐπεὶ δὲ προύκοπτε τὰ τῆς νυκτός, ἀναλύσας
when and advanced the-hours of-the night having-dismissed-them
ὕπνου μὲν οὐκ ἐλάγχανεν, ὅλος δὲ ἦν ἐν τῷ τῆς
sleep indeed not obtained whole but he-was in the —
Ἀφροδίτης ἱερῷ καὶ πάντων ἀνεμιμνήσκετο, τοῦ προσώπου,
of-Aphrodite shrine and all he-recalled the face
τῆς κόμης, πῶς ἐστράφη, πῶς ἐνέβλεψε, τῆς φωνῆς, τοῦ
the hair how she-turned how she-looked the voice the
σχήματος, τῶν ῥημάτων· ἐξέκαε δὲ αὐτὸν καὶ τὰ δάκρυα.
bearing the words inflamed and him also the tears

4.4 Τότ' ἦν ἰδεῖν ἀγῶνα λογισμοῦ καὶ πάθους. Καίτοι
then it-was-possible to-see a-contest of-reason and passion and-yet
γὰρ βαπτιζόμενος ὑπὸ τῆς ἐπιθυμίας γενναῖος ἀνὴρ
for being-drowned by the desire a-noble man
ἐπειρᾶτο ἀντέχεσθαι, καθάπερ δὲ ἐκ κύματος ἀνέκυπτε
he-tried to-hold-out as and from a-wave he-surfaced

λέγων πρὸς ἑαυτὸν "οὐκ αἰσχύνῃ, Διονύσιε, ἀνὴρ ὁ
saying to himself not you-are-ashamed Dionysius a-man the
πρῶτος τῆς Ἰωνίας ἕνεκεν ἀρετῆς τε καὶ δόξης, ὃν
first — of-Ionia for virtue both and reputation whom
θαυμάζουσι σατράπαι καὶ βασιλεῖς καὶ πόλεις, παιδαρίου
admire satraps and kings and cities of-a-boy
πράγματα πάσχων; ἅπαξ ἰδὼν ἐρᾷς, καὶ ταῦτα πενθῶν,
things suffering once having-seen you-love and that mourning
πρὶν ἀφοσιώσασθαι τοὺς τῆς ἀθλίας δαίμονας.
before to-have-propitiated the of-the poor-woman spirits
Τούτου γε ἧκες εἰς ἀγρὸν ἵνα μελανείμων γάμους 4.5
for-this at-least you-came to the-country so-that in-black a-wedding
θύσῃς, καὶ γάμους δούλης, τάχα δὲ καὶ ἀλλοτρίας;
you-might-celebrate and a-wedding of-a-slave perhaps and even another's
οὐκ ἔχεις γὰρ αὐτῆς οὐδὲ τὴν καταγραφήν." Ἐφιλονείκει
not you-have for her even the deed strove
δὲ ὁ Ἔρως βουλευομένου καλῶς καὶ ὕβριν ἐδόκει τὴν
and — Love while-deliberating well and an-insult he-thought the
σωφροσύνην τὴν ἐκείνου· διὰ τοῦτο ἐπυρπόλει σφοδρότερον
self-control the his for this he-was-burning more-fiercely
ψυχὴν ἐν ἔρωτι φιλοσοφοῦσαν.
a-soul in love philosophizing
Μηκέτ' οὖν φέρων μόνος αὑτῷ διαλέγεσθαι, Λεωνᾶν 4.6
no-longer then bearing alone with-himself to-talk Leonas
μετεπέμψατο, κληθεὶς δὲ ἐκεῖνος συνῆκε μὲν τὴν
he-sent-for having-been-called and he understood indeed the
αἰτίαν, προσεποιεῖτο δὲ ἀγνοεῖν καὶ ὥσπερ τεταραγμένος
cause pretended but to-be-ignorant and as-if troubled
"τί" φησὶν "ἀγρυπνεῖς, ὦ δέσποτα; μή τις πάλιν σε
why he-says you-are-awake O master can-it-be-that some again you
λύπη κατείληφε τῆς τεθνηκυίας γυναικός;" "Γυναικὸς μὲν"
grief has-seized for-the dead wife for-a-wife indeed

εἶπεν ὁ Διονύσιος, "ἀλλ' οὐ τῆς τεθνηκυίας. Οὐδὲν δὲ
said — Dionysius but not the dead-one nothing and
ἀπόρρητόν ἐστί μοι πρὸς σὲ δι' εὔνοιάν τε καὶ πίστιν.
secret is for-me toward you because-of goodwill both and loyalty
4.7 Ἀπολώλεκας, ὦ Λεωνᾶ. Σύ μοι τῶν κακῶν αἴτιος.
you-have-ruined-me O Leonas you for-me of-the evils the-cause
Πῦρ ἐκόμισας εἰς τὴν οἰκίαν, μᾶλλον δὲ εἰς τὴν ἐμὴν
fire you-brought into the house rather and into the my
ψυχήν. Ταράσσει δέ με τὸ ἄδηλον τὸ περὶ τῆς γυναικός.
soul troubles and me the obscurity the about the woman
Μῦθόν μοι διηγῇ ἔμπορον πτηνόν, ὃν οὐκ οἶδας οὔτ'
a-fable to-me you-relate a-merchant winged whom not you-know neither
ὁπόθεν ἦλθεν οὔθ' ὅποι πάλιν ἀπῆλθεν. Ἔχων δὲ τίς
whence he-came nor whither again he-went having and who
τοιοῦτον κάλλος ἐν ἐρημίᾳ πιπράσκει ταλάντου τὴν
such beauty in a-lonely-place sells for-a-talent the-one
τῶν βασιλέως χρημάτων ἀξίαν; δαίμων σέ τις ἐξηπάτησεν.
of-the king's riches worth spirit you some deceived
4.8 Ἐπίστησον οὖν καὶ ἀναμνήσθητι τῶν γενομένων. Τίνα
attend then and recall the events whom
εἶδες; τίνι ἐλάλησας; εἰπέ μοι τἀληθές. Οὐ πλοῖον
you-saw to-whom you-talked tell me the-truth not a-vessel
ἐθεάσω." "Οὐκ εἶδον, δέσποτα, ἀλλὰ ἤκουσα." "Τοῦτο
you-saw not I-saw master but I-heard this
ἐκεῖνο· μία Νυμφῶν ἢ Νηρηίδων ἐκ θαλάσσης ἀνελήλυθε.
that-is-it one of-Nymphs or of-Nereids from sea has-come-up
Καταλαμβάνουσι δὲ καὶ δαίμονας καιροί τινες εἱμαρμένης
overtake and even spirits times certain of-fate
ἀνάγκην φέροντες ὁμιλίας μετ' ἀνθρώπων· ταῦτα ἡμῖν
necessity bringing of-intercourse with men these-things to-us
ἱστοροῦσι ποιηταί τε καὶ συγγραφεῖς."
relate poets both and prose-writers

Ἡδέως ἀνέπειθεν αὐτὸν ὁ Διονύσιος ἀποσεμνύνειν τὴν 4.9
gladly persuaded himself — Dionysius to-exalt the
γυναῖκα καὶ σεβασμιωτέραν ἀποφαίνειν ἢ κατ᾽ ἀνθρώπων
woman and more-august to-show than befitting human
ὁμιλίαν. Λεωνᾶς δὲ χαρίσασθαι τῷ δεσπότῃ βουλόμενος
intercourse Leonas and to-please the master wishing
εἶπε "τίς μὲν ἐστί, δέσποτα, μὴ πολυπραγμονῶμεν·
said who indeed she-is master not let-us-inquire
ἄξω δὲ αὐτήν, εἰ θέλεις, πρὸς σέ, καὶ μὴ ἔχε λύπην.
I-will-bring but her if you-wish to you and not have grief
Ἀποτυγχάνεις ἐν ἔρωτος ἐξουσίᾳ;"
you-fail in love's power
"Οὐκ ἂν ποιήσαιμι" φησὶν ὁ Διονύσιος, "πρὶν μαθεῖν τίς 4.10
not — I-would-do-it says — Dionysius before to-learn who
ἡ γυνὴ καὶ πόθεν. Ἕωθεν οὖν πυθώμεθα παρ᾽ αὐτῆς τὴν
the woman and whence at-dawn then let-us-learn from her the
ἀλήθειαν. Μεταπέμψομαι δ᾽ αὐτὴν οὐκ ἐνθάδε, μὴ καί
truth I-will-send-for and her not here lest even
τινος βιαιοτέρου λάβωμεν ὑποψίαν, ἀλλ᾽ ὅπου πρῶτον
of-something more-violent we-incur suspicion but where first
αὐτὴν ἐθεασάμην, ἐπὶ τῆς Ἀφροδίτης γενέσθωσαν ἡμῖν
her I-saw before — Aphrodite let-be-held by-us
οἱ λόγοι."
the talks

II · CALLIRHOE'S SECRET

At the shrine Dionysius questions Callirhoe. She tells him she is Hermocrates' daughter, saying nothing of Chaereas, and begs to be sent home; he promises she will have what she asks, though he weeps for his own lost hope. He rejects Leonas' advice to use a master's power and sets Plangon to win her. Plangon stages a plea for her husband, the steward Phocas, and Callirhoe's thanks bring a kiss. Promised her freedom, Plangon tries every art, but Callirhoe stays faithful, and Plangon finds she is carrying Chaereas' child. In despair Callirhoe strikes her womb, and Plangon promises to arrange an abortion the next day.

5.1 Ταῦτα ἔδοξε, καὶ τῇ ὑστεραίᾳ ὁ μὲν Διονύσιος
these-things seemed-good and on-the next-day — indeed Dionysius
παραλαβὼν φίλους τε καὶ ἀπελευθέρους καὶ τῶν οἰκετῶν
having-taken-along friends both and freedmen and of-the servants
τοὺς πιστοτάτους, ἵνα ἔχῃ καὶ μάρτυρας, ἦκεν εἰς τὸ
the most-trusted so-that he-might-have also witnesses came to the
τέμενος, οὐκ ἀμελῶς σχηματίσας ἑαυτόν, ἀλλὰ κοσμήσας
precinct not carelessly having-arrayed himself but having-adorned
ἠρέμα τὸ σῶμα, ὡς ἂν ἐρωμένῃ μέλλων ὁμιλεῖν.
discreetly the body as — with-a-beloved about to-converse

5.2 Ἦν δὲ καὶ φύσει καλός τε καὶ μέγας καὶ μάλιστα πάντων
he-was and also by-nature handsome both and tall and most of-all
σεμνὸς ὀφθῆναι. Λεωνᾶς δὲ παραλαβὼν τὴν Πλαγγόνα
dignified to-look-upon Leonas and having-taken-along — Plangon
καὶ μετ' αὐτῆς τὰς συνήθεις τῇ Καλλιρρόῃ θεραπαινίδας
and with her the accustomed — to-Callirhoe maidservants
ἦκε πρὸς αὐτὴν καὶ λέγει "Διονύσιος ἀνὴρ δικαιότατός ἐστι
came to her and says Dionysius a-man most-just is
καὶ νομιμώτατος. Ἧκε τοίνυν εἰς τὸ ἱερόν, ὦ γύναι, καὶ
and most-law-abiding come then to the shrine O woman and
πρὸς αὐτὸν εἰπὲ τὴν ἀλήθειαν, τίς οὖσα τυγχάνεις· οὐ γὰρ
to him tell the truth who being you-are not for

ἀτυχήσεις οὐδεμιᾶς δικαίας βοηθείας. Ἀλλὰ μόνον ἁπλῶς
you-will-fail-of any just help but only simply
αὐτῷ διαλέγου, καὶ μηδὲν ἀποκρύψῃς τῶν ἀληθῶν· τοῦτο
with-him talk and nothing hide of-the truth this
γὰρ αὐτοῦ ἐκκαλέσεται μᾶλλον τὴν εἷς σε φιλανθρωπίαν."
for his will-call-forth more the toward you kindness
Ἄκουσα μὲν οὖν ἐβάδιζεν ἡ Καλλιρρόη, θαρροῦσα δ' 5.3
unwilling indeed then went — Callirhoe taking-courage but
ὅμως διὰ τὸ ἐν ἱερῷ γενήσεσθαι τὴν ὁμιλίαν αὐτοῖς.
still because the in a-shrine to-be-going-to-be the meeting for-them
Ἐπεὶ δὲ ἦκεν, ἔτι μᾶλλον αὐτὴν ἐθαύμασαν ἅπαντες. 5.4
when and she-came still more her admired all
Καταπλαγεὶς οὖν ὁ Διονύσιος ἄφωνος ἦν. Οὔσης δὲ ἐπὶ
struck then — Dionysius speechless was being and for
τὸ πλεῖστον σιωπῆς ὀψέ ποτε καὶ μόλις ἐφθέγξατο
the longest silence late at-last and with-difficulty he-spoke
"τὰ μὲν ἐμὰ δῆλά σοι, γύναι, πάντα. Διονύσιός εἰμι,
the-things indeed mine clear to-you woman all Dionysius I-am
Μιλησίων πρῶτος, σχεδὸν δὲ καὶ τῆς ὅλης Ἰωνίας, ἐπ'
of-Milesians first almost and also of-the whole Ionia for
εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ διαβόητος.
piety and humanity renowned
Δίκαιόν ἐστι καὶ σὲ περὶ σεαυτῆς εἰπεῖν ἡμῖν τὴν ἀλήθειαν· 5.5
just it-is also you about yourself to-tell us the truth
οἱ μὲν γὰρ πωλήσαντές σε Συβαρῖτιν ἔφασαν κατὰ
the indeed for having-sold you of-Sybaris said out-of
ζηλοτυπίαν ἐκεῖθεν πραθεῖσαν ὑπὸ δεσποίνης." Ἠρυθρίασεν
jealousy from-there sold by a-mistress blushed
ἡ Καλλιρρόη καὶ κάτω κύψασα ἠρέμα εἶπεν "ἐγὼ νῦν
— Callirhoe and down having-bowed quietly said I now
πρῶτον πέπραμαι· Σύβαριν δὲ οὐκ εἶδον."
first have-been-sold Sybaris and not I-saw

5.6 "Ἔλεγόν σοι" φησὶ Διονύσιος ἀποβλέψας πρὸς τὸν
I-told you says Dionysius having-looked at —
Λεωνᾶν "ὅτι οὐκ ἔστι δούλη· μαντεύομαι δὲ ὅτι καὶ
Leonas that not she-is a-slave I-divine and that also
εὐγενής." "Εἶπόν μοι, γύναι, πάντα, καὶ πρῶτόν γε
well-born tell me woman everything and first at-least
τοὔνομα τὸ σόν." "Καλλιρρόη" φησίν (ἤρεσε Διονυσίῳ
the-name the yours Callirhoe she-says pleased Dionysius
καὶ τοὔνομα), τὰ δὲ λοιπὰ ἐσιώπα. Πυνθανομένου δὲ
even the-name the but rest she-kept-silent asking and
λιπαρῶς "δέομαί σου" φησίν, "ὦ δέσποτα, συγχώρησόν
persistently I-beg you she-says O master allow
μοι τὴν ἐμαυτῆς τύχην σιωπᾶν.
me the my-own fortune to-keep-silent

5.7 Ὄνειρος ἦν τὰ πρῶτα καὶ μῦθος, εἰμὶ δὲ νῦν ὃ
a-dream were the first-things and a-fable I-am and now what
γέγονα, δούλη καὶ ξένη." Ταῦτα λέγουσα ἐπειρᾶτο
I-have-become a-slave and a-stranger these-things saying she-tried
μὲν λανθάνειν, ἐλείβετο δὲ αὐτῆς τὰ δάκρυα κατὰ
indeed to-hide-it trickled but her the tears down
τῶν παρειῶν· προήχθη δὲ καὶ ὁ Διονύσιος κλάειν καὶ
the cheeks was-moved and also — Dionysius to-weep and
πάντες οἱ περιεστηκότες· ἔδοξε δ' ἄν τις καὶ τὴν
all the bystanders would-have-thought and — one even —
Ἀφροδίτην αὐτὴν σκυθρωποτέραν γεγονέναι. Διονύσιος δὲ
Aphrodite herself sadder to-have-become Dionysius and
ἐνέκειτο ἔτι μᾶλλον πολυπραγμονῶν καὶ "ταύτην αἰτοῦμαι
pressed still more inquiring and this I-ask
παρά σου χάριν πρώτην.
from you favor first

Διήγησαί μοι, Καλλιρρόη, τὰ σεαυτῆς. Οὐ πρὸς 5.8
relate to-me Callirhoe the-things of-yours not to
ἀλλότριον ἐρεῖς· ἔστι γάρ τις καὶ τρόπου συγγένεια.
a-stranger you-will-speak there-is for a also of-character kinship
Μηδὲν φοβηθῇς, μηδ' εἰ πέπρακταί σοί τι δεινόν."
nothing fear not-even if has-been-done by-you something terrible
Ἠγανάκτησεν ἡ Καλλιρρόη πρὸς τοῦτο καὶ "μή με
was-indignant — Callirhoe at this and not me
ὕβριζε" εἶπεν, "οὐδὲν γὰρ σύνοιδα ἐμαυτῇ φαῦλον.
insult she-said nothing for I-am-conscious-of in-myself base
Ἀλλ' ἐπεὶ σεμνότερα τἀμὰ τῆς τύχης ἐστὶ τῆς παρούσης, 5.9
but since more-august my-things than-the fortune are the present
οὐ θέλω δοκεῖν ἀλαζὼν οὐδὲ λέγειν διηγήματα ἄπιστα
not I-wish to-seem a-braggart nor to-tell stories incredible
τοῖς ἀγνοοῦσιν· οὐ γὰρ μαρτυρεῖ τὰ προτοῦ τοῖς νῦν."
to-those not-knowing not for bear-witness the-things before to-the present
Ἐθαύμασεν ὁ Διονύσιος τὸ φρόνημα τῆς γυναικὸς καὶ
admired — Dionysius the spirit of-the woman and
"συνίημι" φησὶν "ἤδη, κἂν μὴ λέγῃς· εἰπὲ δ' ὅμως· οὐδὲν
I-understand he-says already even-if not you-tell tell but still nothing
γάρ περὶ σεαυτῆς ἐρεῖς τηλικοῦτον, ἡλίκον ὁρῶμεν.
for about yourself you-will-say so-great as we-see
Πᾶν ἐστί σου σμικρότερον λαμπρὸν διήγημα." Μόλις οὖν 5.10
every is than-you smaller splendid story hardly then
ἐκείνη τὰ καθ' ἑαυτὴν ἤρξατο λέγειν "Ἑρμοκράτους
she the-things about herself began to-tell of-Hermocrates
εἰμὶ θυγάτηρ, τοῦ Συρακουσίων στρατηγοῦ. Γενομένην
I-am daughter the of-Syracusans general having-become
δέ με ἄφωνον ἐξ αἰφνιδίου πτώματος ἔθαψαν οἱ γονεῖς
and me speechless from a-sudden fall buried the parents
πολυτελῶς. Ἤνοιξαν τυμβωρύχοι τὸν τάφον· εὗρον κἀμὲ
lavishly opened tomb-robbers the tomb found and-me

πάλιν ἐμπνέουσαν· ἤνεγκαν ἐνθάδε καὶ Λεωνᾷ με τούτῳ
again breathing they-brought here and to-Leonas me this
παρέδωκε Θήρων ἐπ᾽ ἐρημίας.” Πάντα εἰποῦσα μόνον
handed-over Theron in a-lonely-place all having-told only
Χαιρέαν ἐσίγησεν.
Chaereas she-passed-over-in-silence

5.11 “᾽Αλλὰ δέομαί σου, Διονύσιε (Ἕλλην γὰρ εἶ καὶ
but I-beg you Dionysius a-Greek for you-are and
πόλεως φιλανθρώπου καὶ παιδείας μετείληφας), μὴ γένῃ
of-a-city humane and education you-have-shared not be
τοῖς τυμβωρύχοις ὅμοιος μηδὲ ἀποστερήσῃς με πατρίδος
to-the tomb-robbers like nor deprive me of-fatherland
καὶ συγγενῶν. Μικρόν ἐστί σοι πλουτοῦντι σῶμα ἐâσαι·
and kin small it-is for-you being-rich a-body to-let-go
τὴν τιμὴν οὐκ ἀπολεῖς, ἐὰν ἀποδῷς με τῷ πατρί·
the price not you-will-lose if you-give-back me to-the father
Ἑρμοκράτης οὐκ ἔστιν ἀχάριστος. Τὸν Ἀλκίνοον ἀγάμεθα
Hermocrates not is ungrateful — Alcinous we-admire
δὴ καὶ πάντες φιλοῦμεν ὅτι εἰς τὴν πατρίδα ἀνέπεμψε
indeed and all love because to the fatherland he-sent-back
τὸν ἱκέτην. Ἱκετεύω δὲ κἀγώ.
the suppliant I-beseech and I-too

5.12 Σῶσον αἰχμάλωτον ὀρφανήν. Εἰ δὲ μὴ δύναμαι ζῆν ὡς
save a-captive orphan if but not I-can to-live as
εὐγενής, αἱροῦμαι θάνατον ἐλεύθερον.” Τούτων ἀκούων ἔκλαε
well-born I-choose death free these-things hearing he-wept
προφάσει μὲν Καλλιρρόην, τὸ δὲ ἀληθὲς ἑαυτόν· ᾐσθάνετο
ostensibly indeed for-Callirhoe the but truth himself he-perceived
γὰρ ἀποτυγχάνων τῆς ἐπιθυμίας. “Θάρρει δὲ” ἔφη,
for failing of-the desire take-courage and he-said
“Καλλιρρόη, καὶ ψυχὴν ἔχε ἀγαθήν· οὐ γὰρ ἀτυχήσεις ὧν
Callirhoe and spirit have good not for you-will-fail of-what

ἀξιοῖς· μάρτυν καλῶ τήνδε τὴν Ἀφροδίτην. Ἐν δὲ τῷ μεταξὺ
you-ask as-witness I-call this — Aphrodite in and the meantime
θεραπείαν ἕξεις παρ᾽ ἡμῖν δεσποίνης μᾶλλον ἢ δούλης.᾽᾽
treatment you-will-have with us of-a-mistress rather than of-a-slave
Καὶ ἡ μὲν ἀπῄει πεπεισμένη μηδὲν ἄκουσα δύνασθαι 6.1
and she indeed went-away persuaded nothing against-her-will to-be-able
παθεῖν, ὁ δὲ Διονύσιος λυπούμενος ἦκεν εἰς οἶκον τὸν ἴδιον
to-suffer — and Dionysius grieving came to house the own
καὶ μόνον καλέσας Λεωνᾶν ᾽᾽κατὰ πάντα᾽᾽ φησὶν ᾽᾽ἐγὼ
and alone having-called Leonas in all-things he-says I
δυστυχής εἰμι καὶ μισούμενος ὑπὸ τοῦ Ἔρωτος. Τὴν μὲν
unfortunate am and hated by — Love the indeed
γαμετὴν ἔθαψα, φεύγει δὲ ἡ νεώνητος, ἣν ἤλπιζον ἐξ
wife I-buried flees and the new-bought-one whom I-hoped from
Ἀφροδίτης εἶναί μοι δῶρον, καὶ ἀνέπλαττον ἐμαυτῷ βίον
Aphrodite to-be for-me gift and I-was-fashioning for-myself a-life
μακάριον ὑπὲρ Μενέλεων τὸν τῆς Λακεδαιμονίας γυναικός·
blessed beyond Menelaus the of-the Lacedaemonian woman
οὐδὲ γὰρ τὴν Ἑλένην εὔμορφον οὕτως ὑπολαμβάνω
not-even for — Helen beautiful so I-suppose
γεγονέναι.
to-have-been
Πρόσεστι δὲ αὐτῇ καὶ ἡ τῶν λόγων πειθώ. Βεβίωταί μοι. 6.2
is-added and to-her also the of-the words persuasiveness is-lived-out for-me
Τῆς αὐτῆς ἡμέρας ἀπαλλαγήσεται Καλλιρρόη μὲν ἐντεῦθεν,
on-the same day will-depart Callirhoe indeed from-here
ἐγὼ δὲ τοῦ ζῆν.᾽᾽ Πρὸς τοῦτο ἀνέκραγεν ὁ Λεωνᾶς ᾽᾽μὴ
I and from-the living at this cried-out — Leonas not
σύ γε, ὦ δέσποτα, μὴ καταράσῃ σεαυτῷ· κύριος γὰρ εἶ
you at-least O master not curse yourself lord for you-are

καὶ ἐξουσίαν ἔχεις αὐτῆς, ὥστε καὶ ἑκοῦσα καὶ ἄκουσα
and power you-have over-her so-that both willing and unwilling
ποιήσει τὸ σοὶ δοκοῦν· ταλάντου γὰρ αὐτὴν ἐπριάμην."
she-will-do the to-you thing-seeming-good for-a-talent for her I-bought
6.3 "Ἐπρίω σύ, τρισάθλιε, τὴν εὐγενῆ; οὐκ ἀκούεις Ἑρμοκράτην
you-bought you thrice-wretched the well-born not you-hear-of Hermocrates
τὸν στρατηγὸν τῆς ὅλης Σικελίας ἐγκεχαραγμένον μεγάλως,
the general of-the whole Sicily engraved grandly
ὃν βασιλεὺς ὁ Περσῶν θαυμάζει καὶ φιλεῖ, πέμπει δὲ
whom the-king the of-Persians admires and loves sends and
αὐτῷ κατ' ἔτος δωρεάς, ὅτι Ἀθηναίους κατεναυμάχησε τοὺς
to-him every year gifts because Athenians he-defeated-at-sea the
Περσῶν πολεμίους; ἐγὼ τυραννήσω σώματος ἐλευθέρου,
of-Persians enemies I will-play-the-tyrant a-body free
καὶ Διονύσιος ὁ ἐπὶ σωφροσύνῃ περιβόητος ἄκουσαν
and Dionysius the for self-control famous unwilling
ὑβριῶ, ἣν οὐκ ἂν ὕβρισεν οὐδὲ Θήρων ὁ λῃστής;"
will-violate whom not — would-have-violated even Theron the pirate
6.4 Ταῦτα μὲν οὖν εἶπε πρὸς τὸν Λεωνᾶν, οὐ μὴν οὐδ'
these-things indeed then he-said to — Leonas not however nor
ἀπεγίνωσκε πείσειν (φύσει γὰρ εὔελπίς ἐστιν ὁ
despaired to-be-going-to-persuade by-nature for hopeful is the
ἔρως), ἐθάρρει δὲ τῇ θεραπείᾳ κατεργάσασθαι τὴν
love he-trusted and in-the attention to-achieve the
ἐπιθυμίαν. Καλέσας οὖν τὴν Πλαγγόνα "δέδωκάς μοι"
desire having-called then — Plangon you-have-given me
φησὶν "ἤδη πεῖραν ἱκανὴν τῆς ἐπιμελείας. Ἐγχειρίζω
he-says already proof sufficient of-your care I-entrust
δέ σοι τὸ μέγιστον καὶ τιμιώτατόν μου τῶν κτημάτων,
and to-you the greatest and most-precious of-my — possessions

τὴν ξένην. Βούλομαι δὲ αὐτὴν μηδενὸς σπανίζειν, ἀλλὰ
the stranger I-wish and her of-nothing to-lack but
προϊέναι μέχρι τρυφῆς.
to-go-on to luxury
Κυρίαν ὑπολάμβανε, θεράπευε καὶ κόσμει καὶ ποίει φίλην 6.5
as-mistress regard-her serve and adorn and make friendly
ἡμῖν· ἐπαίνει με παρ᾽ αὐτῇ πολλάκις καὶ οἷον ἐπίστασαι
to-us praise me before her often and what-sort you-know-me
διηγοῦ. Βλέπε μὴ δεσπότην εἴπῃς.” Συνῆκεν ἡ Πλαγγὼν
describe see not master you-call-me understood — Plangon
τῆς ἐντολῆς, φύσει γὰρ ἦν ἐντρεχής· αἴφνης δὲ
the instruction by-nature for she-was dexterous suddenly and
βαλοῦσα πρὸς τὸ πρᾶγμα τὴν διάνοιαν, ᾤχετο πρὸς τοῦτο.
having-turned to the business the mind she-went to this
Παραγενομένη τοίνυν πρὸς τὴν Καλλιρρόην, ὅτι μὲν
having-come then to — Callirhoe that indeed
κεκέλευσται θεραπεύειν αὐτὴν οὐκ ἐμήνυσεν, ἰδίαν δὲ εὔνοιαν
she-has-been-ordered to-serve her not she-disclosed personal but goodwill
ἐπεδείκνυτο· καὶ τὸ ἀξιόπιστον ὡς σύμβουλον ἤθελεν ἔχειν.
she-displayed and the trustworthy as counselor she-wished to-have
Συνέβη δέ τι τοιόνδε. Διονύσιος ἐνδιέτριβε τοῖς χωρίοις, 7.1
happened and something like-this Dionysius lingered on-the estates
προφάσεσι μὲν ἄλλοτε ἄλλαις, τὸ δὲ δὴ ἀληθές, οὔτε
on-pretexts indeed now another the but indeed truth neither
ἀπαλλαγῆναι τῆς Καλλιρρόης δυνάμενος οὔτε ἐπάγεσθαι
to-part — from-Callirhoe being-able nor to-take-along
θέλων αὐτήν· ἔμελλε γὰρ περιβόητος ὀφθεῖσα ἔσεσθαι καὶ
wishing her she-was-going for famous seen to-be and
τὸ κάλλος ὅλην τὴν Ἰωνίαν δουλαγωγήσειν, ἀναβήσεσθαί
the beauty whole — Ionia to-enslave to-go-up
τε τὴν φήμην καὶ μέχρι τοῦ μεγάλου βασιλέως.
and the report even up-to the great king

7.2 Ἐν δὲ τῇ μονῇ πολυπραγμονῶν ἀκριβέστερον τὰ περὶ
in and the stay inquiring more-closely the-things about
τὴν κτῆσιν, ἐμέμψατό που καὶ τὰ περὶ τὸν οἰκονόμον
the estate he-found-fault somehow also the-things about the steward
Φωκᾶν· τὸ δὲ τῆς μέμψεως οὐ περαιτέρω προῆλθεν,
Phocas the but of-the blame not further went
ἀλλὰ μέχρι ῥημάτων. Εὗρε δὲ καιρὸν ἡ Πλαγγών, καὶ
but as-far-as words found and an-opportunity — Plangon and
περίφοβος εἰσέδραμε πρὸς τὴν Καλλιρρόην, σπαράσσουσα
terrified ran-in to — Callirhoe tearing
τὴν κόμην ἑαυτῆς· λαβομένη δὲ τῶν γονάτων αὐτῆς
the hair her-own having-clasped and the knees her
“δέομαί σου” φησίν, “κυρία, σῶσον ἡμᾶς· τῷ γὰρ
I-beg you she-says lady save us with-the for
ἀνδρί μου χαλεπαίνει Διονύσιος· φύσει δέ ἐστι βαρύθυμος,
husband my is-angry Dionysius by-nature and he-is harsh-tempered
ὥσπερ καὶ φιλάνθρωπος.
just-as also kind

7.3 Οὐδεὶς ἂν ῥύσαιτο ἡμᾶς ἢ μόνη σύ· παρέξει γάρ σοι
no-one — could-save us but only you will-grant for to-you
Διονύσιος ἡδέως αἰτουμένῃ χάριν πρώτην.” Ὤκνει μὲν
Dionysius gladly asking a-favor first hesitated indeed
οὖν ἡ Καλλιρρόη βαδίσαι πρὸς αὐτόν, λιπαρούσης δὲ
then — Callirhoe to-go to him persisting but
καὶ δεομένης ἀντειπεῖν οὐκ ἐδυνήθη, προηνεχυριασμένη
and begging to-refuse not she-could pledged-in-advance
ταῖς εὐεργεσίαις ὑπ’ αὐτῆς. Ἵν’ οὖν μὴ ἀχάριστος
by-the kindnesses from her so-that then not ungrateful
δοκῇ “κἀγὼ μὲν” φησὶν “εἰμὶ δούλη καὶ οὐδεμίαν
she-might-seem I-too indeed she-says am a-slave and no
ἔχω παρρησίαν, εἰ δὲ ὑπολαμβάνεις δυνήσεσθαί τι
I-have freedom-of-speech if but you-suppose to-be-able somewhat

κἀμέ, συνικετεύειν ἑτοίμη· γένοιτο δὲ ἡμᾶς τυχεῖν.” Ἐπεὶ
me-too to-join-in-entreaty ready may-it-be and us to-succeed when
δὲ ἦλθον, ἐκέλευσεν ἡ Πλαγγὼν τὸν ἐπὶ ταῖς θύραις
and they-came ordered — Plangon the-man at the doors
εἰσαγγεῖλαι πρὸς τὸν δεσπότην ὅτι Καλλιρρόη πάρεστιν.
to-announce to the master that Callirhoe is-here
Ἐτύγχανε δὲ Διονύσιος ἐρριμμένος ὑπὸ λύπης, ἐτετήκει 7.4
happened and Dionysius lying-prostrate from grief had-wasted
δὲ αὐτῷ καὶ τὸ σῶμα. Ἀκούσας οὖν ὅτι Καλλιρρόη
and his also the body having-heard then that Callirhoe
πάρεστιν, ἄφωνος ἐγένετο, καί τις ἀχλὺς αὐτοῦ κατεχύθη
is-here speechless he-became and a mist over-him was-poured
πρὸς τὸ ἀνέλπιστον, μόλις δὲ ἀνενεγκὼν “ἡκέτω” φησί.
at the unhoped-for hardly and having-recovered let-her-come he-says
Στᾶσα δὲ ἡ Καλλιρρόη πλησίον καὶ κάτω κύψασα 7.5
having-stood and — Callirhoe near and down having-bowed
πρῶτον μὲν ἐρυθήματος ἐνεπλήσθη, μόλις δ’ ὅμως
first indeed with-a-blush was-filled hardly but still
ἐφθέγξατο “ἐγὼ Πλαγγόνι ταύτῃ χάριν ἐπίσταμαι· φιλεῖ
she-spoke I to-Plangon this gratitude feel she-loves
γάρ με ὡς θυγατέρα. Δέομαι δή σου, κύριε, μὴ ὀργίζου
for me as a-daughter I-beg indeed you lord not be-angry
τῷ ἀνδρὶ αὐτῆς, ἀλλὰ χάρισαι τὴν σωτηρίαν.”
with-the husband her but grant the safety
Ἔτι δὲ βουλομένη λέγειν οὐκ ἐδυνήθη. Συνεὶς οὖν 7.6
still and wishing to-speak not she-could having-understood then
ὁ Διονύσιος τὸ στρατήγημα τῆς Πλαγγόνος “ὀργίζομαι
— Dionysius the stratagem — of-Plangon I-am-angry
μὲν” εἶπε, “καὶ οὐδεὶς ἂν ἀνθρώπων ἐρρύσατο μὴ
indeed he-said and no-one — of-men could-have-saved not
ἀπολέσθαι Φωκᾶν καὶ τὴν Πλαγγόνα τοιαῦτα πεπραχότας·
to-perish Phocas and — Plangon such-things having-done

χαρίζομαι δὲ αὐτοὺς ἡδέως σοί, καὶ γινώσκετε ὑμεῖς
I-grant but them gladly to-you and know you
ὅτι διὰ Καλλιρρόην ἐσώθητε.” Προσέπεσεν αὐτοῦ τοῖς
that through Callirhoe you-were-saved fell at-his the
γόνασιν ἡ Πλαγγών, καὶ Διονύσιος ἔφη “τοῖς Καλλιρρόης
knees — Plangon and Dionysius said at-the of-Callirhoe
προσπίπτετε γόνασιν, αὕτη γὰρ ὑμᾶς ἔσωσεν.”
fall knees she for you saved
7.7 Ἐπεὶ δὲ ἡ Πλαγγὼν ἐθεάσατο τὴν Καλλιρρόην χαίρουσαν
when and — Plangon saw — Callirhoe rejoicing
καὶ σφόδρα ἡδομένην ἐπὶ τῇ δωρεᾷ “σὺ οὖν” εἶπε
and greatly pleased at the gift you then she-said
“χάριν ὁμολόγησον ὑπὲρ ἡμῶν Διονυσίῳ” καὶ ἅμα
thanks express for us to-Dionysius and at-the-same-time
ὤθησεν αὐτήν. Ἡ δὲ τρόπον τινὰ καταπεσοῦσα περιέπεσε
pushed her she and in-a-way some having-fallen-down fell-upon
τῇ δεξιᾷ τοῦ Διονυσίου, κἀκεῖνος, ὡς δῆθεν ἀπαξιῶν
the right-hand — of-Dionysius and-he as forsooth disdaining
τὴν χεῖρα δοῦναι, προσαγόμενος αὐτὴν κατεφίλησεν, εἶτα
the hand to-give drawing-to-himself her kissed then
εὐθὺς ἀφῆκε, μὴ καί τις ὑποψία γένηται τῆς τέχνης.
at-once let-go lest even some suspicion arise of-the trick
8.1 Αἱ μὲν οὖν γυναῖκες ἀπῄεσαν, τὸ δὲ φίλημα καθάπερ ἰὸς εἰς
the indeed then women went-away the but kiss like poison into
τὰ σπλάγχνα Διονυσίου κατεδύετο καὶ οὔτε ὁρᾶν ἔτι οὔτε
the vitals of-Dionysius sank and neither to-see any-longer nor
ἀκούειν ἐδύνατο, πανταχόθεν δὲ ἦν ἐκπεπολιορκημένος,
to-hear he-could on-every-side and he-was besieged
οὐδεμίαν εὑρίσκων θεραπείαν τοῦ ἔρωτος· οὔτε διὰ
no finding cure for-the love neither by
δώρων, ἑώρα γὰρ τῆς γυναικὸς τὸ μεγαλόφρον· οὔτε
gifts he-saw for of-the woman the high-spirit nor

δι᾽ ἀπειλῆς ἢ βίας, πεπεισμένος ὅτι θάνατον αἱρήσεται
by threat or force convinced that death she-will-choose
θᾶττον ἢ βιασθήσεται. Μίαν οὖν βοήθειαν ὑπελάμβανεν
sooner than she-will-be-forced one then help be-reckoned
τὴν Πλαγγόνα καὶ μεταπεμψάμενος αὐτὴν "τὰ μὲν
— Plangon and having-sent-for her the-things indeed
πρῶτά σοι" φησὶν "ἐστρατήγηται, καὶ χάριν ἔχω τοῦ
first by-you he-says have-been-well-managed and thanks I-have for-the
φιλήματος· ἐκεῖνο δέ με σέσωκεν ἢ ἀπολώλεκε.
kiss that but me has-saved or ruined
Σκόπει οὖν πῶς γυνὴ γυναικὸς περιγένῃ, σύμμαχον 8.2
consider then how a-woman over-a-woman you-may-prevail as-ally
ἔχουσα κἀμέ. Γίνωσκε δὲ ἐλευθερίαν σοι προκειμένην
having me-too know and freedom for-you set-forth
ἆθλον καὶ ὃ πέπεισμαί σοι πολὺ ἥδιον εἶναι τῆς
as-a-prize and what I-am-convinced to-you much sweeter to-be than-the
ἐλευθερίας, τὸ ζῆν Διονύσιον." Κελευσθεῖσα δὲ ἡ Πλαγγὼν
freedom the living Dionysius ordered and — Plangon
πᾶσαν πεῖραν καὶ τέχνην προσέφερεν· ἀλλ᾽ ἡ Καλλιρρόη
every attempt and artifice applied but — Callirhoe
πανταχόθεν ἀήττητος ἦν καὶ ἔμενε Χαιρέᾳ μόνῳ πιστή.
on-every-side unconquered was and remained to-Chaereas alone faithful
Κατεστρατηγήθη δ᾽ ὑπὸ τῆς τύχης, πρὸς ἣν μόνην οὐδὲν 8.3
she-was-outmaneuvered but by the fortune against which alone nothing
ἰσχύει λογισμὸς ἀνθρώπου· φιλόνεικος γὰρ ἡ δαίμων,
avails reasoning of-man fond-of-victory for the goddess
καὶ οὐδὲν ἀνέλπιστον παρ᾽ αὐτῇ. Καὶ τότ᾽ οὖν πρᾶγμα
and nothing unexpected with her and then then a-thing
παράδοξον, μᾶλλον δὲ ἄπιστον κατώρθωκεν· ἄξιον δὲ
strange rather and incredible she-has-accomplished worth and
ἀκοῦσαι τὸν τρόπον.
to-hear the manner

8.4 Ἐπεβούλευσεν ἡ τύχη τῇ σωφροσύνῃ τῆς γυναικός·
plotted-against the fortune the chastity of-the woman
ἐρωτικὴν γὰρ ποιησάμενοι τὴν πρώτην σύνοδον τοῦ
loving for having-made the first union of-the
γάμου Χαιρέας καὶ Καλλιρρόη, παραπλησίαν ἔσχον ὁρμὴν
marriage Chaereas and Callirhoe equal had impulse
πρὸς τὴν ἀπόλαυσιν ἀλλήλων, ἰσόρροπος δὲ ἐπιθυμία
toward the enjoyment of-each-other evenly-balanced and desire
τὴν συνουσίαν ἐποίησεν οὐκ ἀργήν.
the union made not fruitless

8.5 Ὀλίγον οὖν πρὸ τοῦ πτώματος ἡ γυνὴ συνέλαβεν. Ἀλλὰ
a-little then before the fall the wife conceived but
διὰ τοὺς κινδύνους καὶ τὴν ταλαιπωρίαν τὴν ὕστερον
because-of the dangers and the hardship the later
οὐ ταχέως συνῆκεν ἐγκύμων γενομένη· τρίτου δὲ μηνὸς
not quickly she-realized pregnant having-become third and month
ἀρχομένου, προύκοπτεν ἡ γαστήρ· ἐν δὲ τῷ λουτρῷ συνῆκεν
beginning was-growing the belly in and the bath realized
ἡ Πλαγγών, ὡς ἂν ἤδη πεῖραν ἔχουσα τῶν γυναικείων.
— Plangon as — already experience having of-the women's-matters

8.6 Εὐθὺς μὲν οὖν ἐσίγησε διὰ τὸ πλῆθος τῶν θεραπαινίδων·
at-once indeed then she-kept-silent because-of the number of-the maidservants
περὶ δὲ τὴν ἑσπέραν σχολῆς γενομένης, παρακαθίσασα
about and the evening leisure having-come having-sat-beside
ἐπὶ τῆς κλίνης "ἴσθι" φησίν, "ὦ τέκνον, ὅτι ἐγκύμων
on the couch know she-says O child that pregnant
ὑπάρχεις." Ἀνέκλαυσεν ἡ Καλλιρρόη καὶ ὀλολύζουσα καὶ
you-are burst-into-tears — Callirhoe and wailing and
τίλλουσα τὴν κεφαλὴν "ἔτι καὶ τοῦτό μου" φησὶ "ταῖς
tearing the head still also this to-my she-says —
συμφοραῖς, ὦ Τύχη, προστέθεικας, ἵνα καὶ τέκω δοῦλον."
misfortunes O Fortune you-have-added so-that even I-may-bear a-slave

Τύπτουσα δὲ τὴν γαστέρα εἶπεν "ἄθλιον πρὸ τοῦ 8.7
beating and the belly she-said wretched-one before the
γεννηθῆναι γέγονας· ἐν τάφῳ καὶ χερσὶ λῃστῶν
to-be-born you-have-been in a-tomb and to-the-hands of-pirates
παρεδόθης. Εἰς ποῖον παρέρχῃ βίον; ἐπὶ ποίαις
you-were-handed-over into what-kind-of you-come life on what-kind-of
ἐλπίσι μέλλω σε κυοφορεῖν, ὀρφανὲ καὶ ἄπολι καὶ
hopes I-am-to you to-carry-in-the-womb orphan and cityless and
δοῦλε; Πρὸ τῆς γενέσεως πειράθητι θανάτου." Κατέσχε
slave before the birth taste death held-back
δὲ αὐτῆς τὰς χεῖρας ἡ Πλαγγών, ἐπαγγειλαμένη τῆς
and her the hands — Plangon having-promised on-the
ὑστεραίας εὐκολωτέραν αὐτῇ ἔκτρωσιν παρασκευάσειν.
next-day an-easier for-her abortion to-be-going-to-arrange

III · THE DECISION

Alone, each woman takes counsel. Plangon sees that the child can persuade where Dionysius could not. Callirhoe weighs killing Chaereas' child against bearing it in slavery, and in a dream Chaereas entrusts his son to her. Plangon urges an abortion until Callirhoe begs for a way to raise the child; then, binding her to secrecy, she offers a ruse: the child can pass as Dionysius', born at seven months. Before Chaereas' portrait Callirhoe lets the child outvote her wish to die his wife alone. She consents, fearing only to be kept as a concubine, and Plangon goes to Dionysius, promising to put him on oath.

Γενομένη δὲ καθ' ἑαυτὴν ἑκατέρα τῶν γυναικῶν ἰδίους 9.1
having-been and by herself each of-the women own
ἐλάμβανε λογισμούς· ἡ μὲν Πλαγγών, ὅτι καιρὸς
was-taking reckonings — indeed Plangon that an-occasion
ἐπιτήδειος πέφηνεν εἰς τὸ κατεργάσασθαι τὸν ἔρωτα τῷ
suitable has-appeared for the to-accomplish the love for-the

δεσπότῃ, συνήγορον ἔχουσα τὸ κατὰ γαστρός· "εὕρηται
master as-advocate having the-child in the-womb has-been-found
πειθοῦς ἐνέχυρον· νικήσει σωφροσύνην γυναικὸς μητρὸς
of-persuasion a-pledge will-conquer the-chastity of-a-wife a-mother's
φιλοστοργία." Καὶ ἡ μὲν πιθανῶς τὴν πρᾶξιν συνετίθει·
love and she indeed plausibly the scheme was-putting-together
9.2 Καλλιρρόη δὲ τὸ τέκνον ἐβουλεύετο φθεῖραι, λέγουσα
Callirhoe and the child was-planning to-destroy saying
πρὸς ἑαυτὴν "ἀλλ' ἐγὼ τέκω δεσπότῃ τὸν Ἑρμοκράτους
to herself but I am-to-bear for-a-master the of-Hermocrates
ἔγγονον καὶ προενέγκω παιδίον, οὗ μηδεὶς οἶδε πατέρα.
grandson and am-to-bring-forth a-child whose no-one knows father
Τάχα δὲ ἐρεῖ τις τῶν φθονούντων 'ἐν τῷ λῃστηρίῳ
perhaps and will-say someone of-the envious in the pirates'-den
Καλλιρρόη συνέλαβεν.' Ἀρκεῖ μόνην ἐμὲ δυστυχεῖν.
Callirhoe conceived it-is-enough alone me to-be-unfortunate
9.3 Οὐ συμφέρει σοι, παιδίον, εἰς βίον ἄθλιον παρελθεῖν,
not it-profits you child into a-life wretched to-come
ὃν ἔδει καὶ γεννώμενον φυγεῖν. Ἄπιθι ἐλεύθερος,
which it-were-right even being-born to-flee depart free
ἀπαθὴς κακῶν. Μηδὲν ἀκούσῃς τῶν περὶ τῆς μητρὸς
unacquainted with-evils nothing may-you-hear of-the about the mother
διηγημάτων." Πάλιν δὲ μετενόει καί πως ἔλεος
stories again and she-changed-her-mind and somehow pity
αὐτὴν τοῦ κατὰ γαστρὸς εἰσῄει. "Βουλεύῃ τεκνοκτονῆσαι,
her for-the in womb came-over you-plan to-kill-your-child
πασῶν ἀσεβεστάτη, καὶ Μηδείας λαμβάνεις λογισμούς;
of-all most-impious and of-Medea you-take reckonings
9.4 Ἀλλὰ καὶ τῆς Σκυθίδος ἀγριωτέρα δόξεις· ἐκείνη
but even than-the Scythian-woman more-savage you-will-seem she
μὲν γὰρ ἐχθρὸν εἶχε τὸν ἄνδρα, σὺ δὲ τὸ Χαιρέου τέκνον
indeed for as-enemy had the husband you but the of-Chaereas child

θέλεις ἀποκτεῖναι καὶ μηδὲ ὑπόμνημα τοῦ περιβοήτου
wish to-kill and not-even a-reminder of-the famous
γάμου καταλιπεῖν. Τί δ' ἂν υἱὸς ᾖ; τί δ' ἂν
marriage to-leave what and if a-son it-is what and if
ὅμοιος τῷ πατρί; τί δ' ἂν εὐτυχέστερος ἐμοῦ; Μήτηρ
like to-the father what and if more-fortunate than-me a-mother
ἀποκτείνῃ τὸν ἐκ τάφου σωθέντα καὶ ληστῶν;
is-to-kill the-one from a-tomb saved and pirates
Πόσων ἀκούομεν θεῶν παῖδας καὶ βασιλέων ἐν δουλείᾳ 9.5
of-how-many we-hear of-gods children and of-kings in slavery
γεννηθέντας ὕστερον ἀπολαβόντας τὸ τῶν πατέρων ἀξίωμα,
born later having-recovered the of-the fathers rank
τὸν Ζῆθον καὶ τὸν Ἀμφίονα καὶ Κῦρον; Πλεύσῃ μοι καὶ σύ,
— Zethus and — Amphion and Cyrus you-will-sail for-me also you
τέκνον, εἰς Σικελίαν· ζητήσεις πατέρα καὶ πάππον καὶ τὰ
child to Sicily you-will-seek father and grandfather and the-things
τῆς μητρὸς αὐτοῖς διηγήσῃ. Ἀναχθήσεται στόλος ἐκεῖθεν
of-the mother to-them you-will-relate will-put-to-sea a-fleet from-there
ἐμοὶ βοηθῶν. Σύ, τέκνον, ἀλλήλοις ἀποδώσεις τοὺς γονεῖς."
me helping you child to-each-other you-will-restore the parents
Ταῦτα λογιζομένῃ δι' ὅλης τῆς νυκτὸς ὕπνος ἐπῆλθε 9.6
these-things for-her-reckoning through whole the night sleep came-on
πρὸς ὀλίγον. Ἐπέστη δὲ αὐτῇ εἰκὼν Χαιρέου
for a-little stood-over and her an-image of-Chaereas

πάντ' αὐτῷ μέγεθός τε καὶ ὄμματα κάλ' εἰκυῖα,
in-all to-him size both and eyes beautiful like
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο.
and voice and such about skin clothes wore

Ἑστὼς δὲ "παρατίθεμαί σοι" φησίν, "ὦ γύναι, τὸν
standing and I-entrust to-you he-says O wife the
υἱόν." Ἔτι δὲ βουλομένου λέγειν ἀνέθορεν ἡ Καλλιρρόη,
son still and wishing to-speak leapt-up — Callirhoe
θέλουσα αὐτῷ περιπλακῆναι. Σύμβουλον οὖν τὸν ἄνδρα
wishing him to-embrace as-counselor then the husband
νομίσασα θρέψαι τὸ παιδίον ἔκρινε.
having-considered to-rear the child she-decided

10.1 Τῆς δὲ ὑστεραίας ἐλθούσῃ Πλαγγόνι τὴν αὑτῆς γνώμην
on-the and next-day having-come to-Plangon the her-own decision
ἐδήλωσεν. Ἡ δὲ τὸ ἄκαιρον τῆς βουλῆς οὐ παρέλαβεν, ἀλλ'
she-disclosed she and the untimeliness of-the plan not overlooked but
"ἀδύνατόν ἐστί σοι" φησίν, "ὦ γύναι, τὸ τέκνον θρέψαι παρ'
impossible it-is for-you she-says O woman the child to-rear with
ἡμῖν· ὁ γὰρ δεσπότης ἡμῶν ἐρωτικῶς σου διακείμενος
us the for master our lovingly toward-you disposed
ἄκουσαν μὲν οὐ βιάσεται δι' αἰδῶ καὶ σωφροσύνην,
unwilling indeed not will-force out-of respect and self-control
θρέψαι δὲ τὸ παιδίον οὐκ ἐπιτρέψει διὰ ζηλοτυπίαν,
to-rear but the child not will-allow out-of jealousy
ὑβρίζεσθαι δοκῶν εἰ τὸν μὲν ἀπόντα περισπούδαστον
to-be-insulted thinking if the-one indeed absent much-cherished
ὑπολαμβάνεις, ὑπερορᾷς δὲ παρόντος αὐτοῦ. Κρεῖττον οὖν
you-regard you-disdain but present him better then
μοι δοκεῖ πρὸ τοῦ γεννηθῆναι τὸ παιδίον ἢ γεννηθὲν
to-me it-seems before the to-be-born the child than born
ἀπολέσθαι· κερδανεῖς γὰρ ὠδῖνας ματαίας καὶ κυοφορίαν
to-perish you-will-save for labor-pains vain and pregnancy
ἄχρηστον. Ἐγὼ δέ σε φιλοῦσα συμβουλεύω τἀληθῆ."
useless I and you loving advise the-truth

Βαρέως ἤκουσεν ἡ Καλλιρρόη καὶ προσπεσοῦσα τοῖς 10.2
heavily heard — Callirhoe and having-fallen at-the
γόνασιν αὐτῆς ἱκέτευεν ὅπως συνεξεύρῃ τινὰ τέχνην, δι᾽
knees her begged that she-help-find some device through
ἧς τὸ παιδίον θρέψει.
which the child she-will-rear
Πολλὰ τοίνυν ἀρνησαμένη, δύο καὶ τρεῖς ἡμέρας ὑπερθεμένη 10.3
much then having-refused two and three days having-put-off
τὴν ἀπόκρισιν, ἐπειδὴ μᾶλλον ἐξέκαυσεν αὐτὴν πρὸς
the answer when more she-had-inflamed her to
τὰς δεήσεις, ἀξιοπιστοτέρα γενομένη πρῶτον μὲν αὐτὴν
the entreaties more-credible having-become first indeed her
ἐξώρκισε μηδενὶ κατειπεῖν τὴν τέχνην, ἔπειτα συναγαγοῦσα
she-made-swear to-no-one to-disclose the device then having-drawn-together
τὰς ὀφρῦς καὶ τρίψασα τὰς χεῖρας "τὰ μεγάλα" φησὶ "τῶν
the brows and having-rubbed the hands the great she-says of-the
πραγμάτων, ὦ γύναι, μεγάλαις ἐπινοίαις κατορθοῦται· κἀγὼ
affairs O woman by-great schemes are-accomplished and-I
διὰ τὴν εὔνοιαν τὴν πρὸς σὲ προδίδωμι τὸν δεσπότην.
because-of the goodwill the toward you betray the master
Ἴσθι τοίνυν ὅτι δεήσει δυοῖν θάτερον, ἢ παντάπασιν 10.4
know then that it-will-be-necessary of-two one either altogether
ἀπολέσθαι τὸ παιδίον ἢ γεννηθῆναι πλουσιώτατον Ἰώνων,
to-perish the child or to-be-born the-richest of-Ionians
κληρονόμον τῆς λαμπροτάτης οἰκίας. Καὶ σὲ τὴν μητέρα
heir of-the most-splendid house and you the mother
ποιήσει μακαρίαν. Ἑλοῦ δέ, πότερον θέλεις." "Καὶ
it-will-make blessed choose and which you-wish and
τίς οὕτως" εἶπεν "ἀνόητος, ἵνα τεκνοκτονίαν ἀντ᾽
who so she-said foolish that child-murder instead-of

εὐδαιμονίας ἕληται; δοκεῖς δέ μοί τι ἀδύνατον καὶ
happiness she-should-choose you-seem but to-me something impossible and
ἄπιστον λέγειν, ὥστε σαφέστερον αὐτὸ δήλωσον."
incredible to-say so more-clearly it explain

10.5 Ἤρετο οὖν ἡ Πλαγγὼν "πόσον δοκεῖς χρόνον ἔχειν
asked then — Plangon how-much you-think time to-have
τῆς συλλήψεως;" Ἡ δὲ "δύο μῆνας" εἶπεν. "Ὁ χρόνος
of-the conception she and two months said the time
οὖν ἡμῖν βοηθεῖ· δύνασαι γὰρ δοκεῖν ἑπταμηνιαῖον ἐκ
then us helps you-can for to-seem a-seven-months-child by
Διονυσίου τετοκέναι." Πρὸς τοῦτο ἀνέκραγεν ἡ Καλλιρρόη
Dionysius to-have-borne at this cried-out — Callirhoe
"μᾶλλον ἀπολέσθω."
rather let-it-perish

10.6 Καὶ ἡ Πλαγγὼν κατειρωνεύσατο αὐτῆς "καλῶς, ὦ γύναι,
and — Plangon dissembled-with her well O woman
φρονεῖς, βουλομένη μᾶλλον ἐκτρῶσαι. Τοῦτο πράττωμεν·
you-think wishing rather to-miscarry this let-us-do
ἀκινδυνότερον γὰρ ἢ ἐξαπατᾶν δεσπότην. Πανταχόθεν
less-dangerous for than to-deceive a-master on-every-side
ἀπόκοψόν σου τὰ τῆς εὐγενείας ὑπομνήματα, μηδ' ἐλπὶς
cut-off your the of-the noble-birth reminders nor hope
ἔστω σοι πατρίδος. Συνάρμοσαι τῇ παρούσῃ τύχῃ καὶ
let-be for-you of-fatherland fit-yourself to-the present fortune and
ἀκριβῶς γενοῦ δούλη."
thoroughly become a-slave

10.7 Ταῦτα τῆς Πλαγγόνος παραινούσης οὐδὲν ὑπώπτευε
these-things — Plangon advising nothing suspected
Καλλιρρόη, μείραξ εὐγενὴς καὶ πανουργίας ἄπειρος
Callirhoe a-girl well-born and of-craft inexperienced
δουλικῆς· ἀλλ' ὅσῳ μᾶλλον ἐκείνη τὴν φθορὰν
servile but by-as-much-as more she the destruction

ἔσπευδε, τοσούτῳ μᾶλλον αὐτὴ τὸ κατὰ γαστρὸς
urged by-so-much more she the-child in womb
ἠλέει καὶ "δός μοι" φησὶ "καιρὸν εἰς σκέψιν· περὶ τῶν
pitied and give me she-says time for consideration about the
μεγίστων γάρ ἐστιν ἡ αἵρεσις, ἢ σωφροσύνης ἢ τέκνου."
greatest-things for is the choice either of-chastity or of-child
Πάλιν τοῦτο ἐπῄνεσεν ἡ Πλαγγών, ὅτι μὴ προπετῶς 10.8
again this praised — Plangon that not rashly
αἱρεῖται τὸ ἕτερον· "πιθανὴ γὰρ εἰς ἑκάτερον ἡ
she-chooses the one persuasive for toward each the
ῥοπή· τὸ μὲν γὰρ ἔχει πίστιν γυναικός, τὸ δὲ
inclination the-one indeed for has fidelity of-a-wife the-other and
μητρὸς φιλοστοργίαν. Καιρὸς δ' οὐκ ἔστιν ὅμως μακρᾶς
of-a-mother love time but not there-is still for-long
ἀναβολῆς, ἀλλὰ τῆς ὑστεραίας δεῖ πάντως θατέρου
delay but on-the next-day it-is-necessary by-all-means one
ἔχεσθαι, πρὶν ἔκπυστόν σου τὴν γαστέρα γενέσθαι."
to-hold-to before known your the pregnancy to-become
Συνέθεντο ταῦτα καὶ ἀπηλλάγησαν ἀλλήλων.
they-agreed these-things and parted from-each-other
Ἀνελθοῦσα δὲ εἰς τὸ ὑπερῷον ἡ Καλλιρρόη καὶ συγκλείσασα 11.1
having-gone-up and into the upper-room — Callirhoe and having-shut
τὰς θύρας τὴν εἰκόνα Χαιρέου τῇ γαστρὶ προσέθηκε καὶ
the doors the image of-Chaereas to-the belly put and
"ἰδοὺ" φησὶ "τρεῖς γεγόναμεν, ἀνὴρ καὶ γυνὴ καὶ τέκνον.
look she-says three we-have-become husband and wife and child
Βουλευσώμεθα περὶ τοῦ κοινῇ συμφέροντος. Ἐγὼ μὲν οὖν
let-us-deliberate about the common good I indeed then
πρώτη τὴν ἐμὴν γνώμην ἀποφαίνομαι· θέλω γὰρ ἀποθανεῖν
first the my opinion declare I-wish for to-die

Χαιρέου μόνου γυνή. Τοῦτό μοι καὶ γονέων ἥδιον καὶ
of-Chaereas alone wife this to-me even than-parents sweeter and
πατρίδος καὶ τέκνου, πεῖραν ἑτέρου ἀνδρὸς μὴ λαβεῖν.
fatherland and child trial of-another man not to-take
11.2 Σὺ δέ, παιδίον, ὑπὲρ σεαυτοῦ τί αἱρῇ; φαρμάκῳ
you and child for yourself what you-choose by-a-drug
τελευτῆσαι, πρὶν τὸν ἥλιον ἰδεῖν, καὶ μετὰ τῆς μητρὸς
to-die before the sun to-see and with the mother
ἐρρῖφθαι, τάχα δὲ μηδὲ ταφῆς ἀξιωθῆναι, ἢ ζῆν καὶ
to-be-cast-out perhaps and not-even burial to-be-thought-worthy-of or to-live and
δύο πατέρας ἔχειν, τὸν μὲν Σικελίας τὸν δὲ Ἰωνίας
two fathers to-have the-one indeed of-Sicily the-other and of-Ionia
πρῶτον; Ἀνὴρ δὲ γενόμενος γνωρισθήσῃ ῥᾳδίως ὑπὸ
first a-man and having-become you-will-be-recognized easily by
τῶν συγγενῶν· πέπεισμαι γὰρ ὅτι ὁμοιόν σε τέξομαι τῷ
the kin I-am-convinced for that like you I-will-bear to-the
πατρί· καὶ καταπλεύσεις λαμπρῶς ἐπὶ τριήρους Μιλησίας,
father and you-will-sail-home splendidly on a-trireme Milesian
ἡδέως δὲ Ἑρμοκράτης ἔγγονον ἀπολήψεται, στρατηγεῖν
gladly and Hermocrates a-grandson will-receive to-be-general
ἤδη δυνάμενον.
already able
11.3 Ἐναντίαν μοι φέρεις, τέκνον, ψῆφον καὶ οὐκ ἐπιτρέπεις
contrary to-me you-cast child vote and not you-allow
ἡμῖν ἀποθανεῖν. Πυθώμεθά σου καὶ τοῦ πατρός. Μᾶλλον
us to-die let-us-ask you also the father rather
δὲ εἴρηκεν· αὐτὸς γάρ μοι παραστὰς ἐν τοῖς ὀνείροις
but he-has-spoken he-himself for by-me standing in the dreams
‘παρατίθεμαί σοι’ φησὶ ‘τὸν υἱόν.’ Μαρτύρομαί σε, Χαιρέα,
I-entrust to-you he-says the son I-call-to-witness you Chaereas
σύ με Διονυσίῳ νυμφαγωγεῖς.”
you me to-Dionysius lead-as-bride

Ταύτην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν νύκτα ἐν τούτοις 11.4
this indeed then the day and the night in these
ἦν τοῖς λογισμοῖς καὶ οὐ δι᾽ αὑτὴν ἀλλὰ διὰ τὸ βρέφος
she-was the reckonings and not for herself but for the baby
ἐπείθετο ζῆν· τῆς δὲ ὑστεραίας ἐλθοῦσα ἡ Πλαγγὼν
she-consented to-live on-the and next-day having-come — Plangon
πρῶτον μὲν καθῆστο σκυθρωπὴ καὶ σχῆμα συμπαθὲς
first indeed sat gloomy and a-look sympathetic
ἐπεδείξατο, σιγὴ δὲ ἦν ἀμφοτέρων.
put-on silence and was of-both
Ἐπεὶ δὲ μακρὸς ἐγίνετο χρόνος, ἡ Πλαγγὼν ἐπύθετο 11.5
when and long became the-time — Plangon asked
“τί σοι δέδοκται; τί ποιῶμεν; καιρὸς γὰρ οὐκ ἔστι
what to-you has-been-decided what are-we-to-do time for not there-is
τοῦ μέλλειν.” Καλλιρρόη δὲ ἀποκρίνασθαι μὲν ταχέως
for-the delaying Callirhoe and to-answer indeed quickly
οὐκ ἐδύνατο κλάουσα καὶ συγκεχυμένη, μόλις δὲ εἶπε
not could weeping and confounded hardly and said
“τὸ τέκνον με προδίδωσιν ἀκούσης ἐμοῦ· σὺ πρᾶττε
the child me betrays unwilling me you do
τὸ συμφέρον· δέδοικα δὲ μή, κἂν ὑπομείνω τὴν ὕβριν,
the advantageous I-fear but lest even-if I-endure the outrage
Διονύσιός μου καταφρονήσῃ τῆς τύχης καὶ παλλακὴν
Dionysius my despise the fortune and a-concubine
μᾶλλον ἢ γυναῖκα νομίσας οὐ θρέψῃ τὸ ἐξ
rather than wife having-considered-me not rear the-child from
ἄλλου γεννώμενον κἀγὼ μάτην ἀπολέσω τὴν σωφροσύνην.”
another born and-I in-vain lose the chastity
Ἔτι λεγούσης ἡ Πλαγγὼν ὑπολαβοῦσα “ἔγωγε” φησὶ 11.6
still speaking — Plangon interrupting I she-says
“περὶ τούτων προτέρα σοῦ βεβούλευμαι· σὲ γὰρ τοῦ
about these-things before you have-deliberated you for than-the

δεσπότου μᾶλλον ἤδη φιλῶ. Πιστεύω μὲν οὖν Διονυσίου
master more now I-love I-trust indeed then of-Dionysius
τῷ τρόπῳ, χρηστὸς γάρ ἐστιν· ἐξορκιῶ δ' ὅμως
the character good for he-is I-will-make-swear but still
αὐτόν, κἂν δεσπότης ᾖ· δεῖ πάντα ἡμᾶς ἀσφαλῶς
him even-if master he-is it-is-necessary everything us safely
πράττειν. Καὶ σύ, τέκνον, ὅπως μ' ἀντευποιήσεις.
to-do and you child see-that me you-will-repay-in-kindness
Ἄπειμι δὲ ἐγὼ τὴν πρεσβείαν κομιοῦσα."
I-am-going and I the embassy to-carry

BOOK III

I · THE EMPTY TOMB

Dionysius, despairing, has resolved to starve himself when Plangon brings Callirhoe's consent to a lawful marriage. He swears by the sea, Aphrodite, and Eros, and holds the wedding publicly in Miletus with great splendor. In Syracuse, Chaereas finds Callirhoe's tomb empty and the grave goods gone. Ships search the sea, and Chaereas' trireme comes upon a drifting boat full of gold and dead men, where he knows her grave goods. Theron alone is alive, and he claims to be a Cretan saved by his piety. Chaereas has the boat towed to Syracuse.

1.1 Διονύσιος δὲ ἀποτυγχάνων τοῦ Καλλιρρόης ἔρωτος,
Dionysius and failing in-the for-Callirhoe love
μηκέτι φέρων *** ἀποκαρτερεῖν ἐγνώκει καὶ διαθήκας
no-longer bearing-it (lacuna) to-starve-himself-to-death had-resolved and a-will
ἔγραφε τὰς τελευταίας, ἐπιστέλλων πῶς ταφῇ.
was-writing the last directing how he-should-be-buried
Παρεκάλει δὲ Καλλιρρόην ἐν τοῖς γράμμασιν ἵνα αὐτῷ
begged and Callirhoe in the letter that to-him
προσέλθῃ κἂν νεκρῷ. Πλαγγὼν δὲ ἐβούλετο μὲν εἰσελθεῖν
she-come even dead Plangon and wished indeed to-go-in

πρὸς τὸν δεσπότην, διεκώλυσε δὲ αὐτὴν ὁ θεράπων
to the master prevented but her the attendant
κεκελευσμένος μηδένα δέχεσθαι.
having-been-ordered no-one to-admit
Μαχομένων δὲ αὐτῶν πρὸς ταῖς θύραις ἀκούσας ὁ Διονύσιος 1.2
fighting and they at the doors having-heard — Dionysius
ἤρετο τίς ἐνοχλοίη. Τοῦ δὲ θεράποντος εἰπόντος ὅτι
asked who was-making-trouble the and attendant having-said that
Πλαγγών, "ἀκαίρως μὲν" εἶπε "πάρεστιν" (οὐκέτι γὰρ οὐδὲ
Plangon untimely indeed he-said she-is-here no-longer for even
ὑπόμνημα τῆς ἐπιθυμίας ἤθελεν ἰδεῖν) "κάλεσον δ' ὅμως."
a-reminder of-the desire he-wished to-see call-her but still
Ἀνοίξασα δὲ ἐκείνη τὰς θύρας "τί κατατρύχῃ" φησίν, 1.3
having-opened and she the doors why you-waste-away she-says
"ὦ δέσποτα, λυπῶν σεαυτὸν ὡς ἀποτυγχάνων. Καλλιρρόη
O master grieving yourself as-if failing Callirhoe
γάρ σε ἐπὶ τὸν γάμον παρακαλεῖ. Λαμπρειμόνει, θῦε,
for you to the marriage invites dress-in-bright-clothes sacrifice
προσδέχου νύμφην, ἧς ἐρᾷς." Ἐξεπλάγη πρὸς τὸ
receive a-bride whom you-love was-astounded at the
ἀνέλπιστον ὁ Διονύσιος καὶ ἀχλὺς αὐτοῦ τῶν ὀφθαλμῶν
unhoped-for — Dionysius and a-mist his over-the eyes
κατεχύθη, παντάπασι δὲ ὢν ἀσθενὴς φαντασίαν παρέσχε
was-poured altogether and being weak an-appearance gave
θανάτου· κωκύσασα δὲ ἡ Πλαγγὼν συνδρομὴν ἐποίησε,
of-death having-shrieked and — Plangon a-rush made
καὶ ἐφ' ὅλης τῆς οἰκίας ὡς τεθνεὼς ὁ δεσπότης ἐπενθεῖτο.
and over whole the house as dead the master was-mourned
Οὐδὲ Καλλιρρόη τοῦτο ἤκουσεν ἀδακρυτί. *** τοσαύτη 1.4
not-even Callirhoe this heard without-tears (lacuna) so-great
ἦν, ὥστε κἀκείνη Διονύσιον ἔκλαε τὸν ἄνδρα. Ὀψὲ δὲ καὶ
was so-that she-too Dionysius wept-for the husband late and and

μόλις ἐκεῖνος ἀνανήψας ἀσθενεῖ φωνῇ "τίς με δαιμόνων"
hardly he having-come-to with-a-weak voice which me of-spirits
φησὶν "ἀπατᾷ βουλόμενος ἀναστρέψαι τῆς προκειμένης
he-says deceives wishing to-turn-back from-the set-before-me
ὁδοῦ; ὕπαρ ἢ ὄναρ ταῦτα ἤκουσα; θέλει μοι Καλλιρρόη
road waking or in-dream these-things I-heard wishes to-me Callirhoe
γαμηθῆναι, ἡ μὴ θέλουσα μηδὲ ὀφθῆναι;"
to-be-married she-who not wishing even to-be-seen
1.5 Παρεστῶσα δὲ ἡ Πλαγγὼν "παῦσαι" φησὶ "μάτην
standing-by and — Plangon stop she-says in-vain
σεαυτὸν ὀδυνῶν καὶ τοῖς ἰδίοις ἀγαθοῖς ἀπιστῶν· οὐ γὰρ
yourself tormenting and the own good-things disbelieving not for
ἐξαπατῶ μου τὸν δεσπότην, ἀλλ' ἔπεμψέ με Καλλιρρόη
I-deceive my the master but sent me Callirhoe
πρεσβεῦσαι περὶ γάμων." "Πρέσβευε τοίνυν" εἶπεν ὁ
to-negotiate about marriage negotiate then said —
Διονύσιος "καὶ λέγε αὐτὰ τὰ ἐκείνης ῥήματα. Μηδὲν
the friend said — Polycharmus but I-beg you
δέσποτα, κέλευσον τῷ δημίῳ μηδὲ τοὺς σταυροὺς ἡμῶν
master order the executioner not-even the crosses our
διαζεῦξαι.” Δάκρυα καὶ στεναγμὸς ἐπηκολούθησε τῷ
to-separate tears and groaning followed the
διηγήματι, καὶ πάντας ἔπεμψε Μιθριδάτης ἐπὶ Χαιρέαν,
tale and all sent Mithridates for Chaereas
ἵνα μὴ φθάσῃ τελευτήσας. Εὗρον δὲ τοὺς μὲν ἄλλους
so-that not he-should-first die they-found and the indeed others
ἀνῃρημένους, ἄρτι δ᾽ ἐκεῖνον ἐπιβαίνοντα τοῦ σταυροῦ.
killed just and him mounting the cross
3.6 Πόρρωθεν οὖν ἐκεκράγεσαν ἄλλος ἄλλο τι “φεῖσαι,
from-afar then they-shouted one another thing spare
κατάβηθι, μὴ τρώσῃς, ἄφες.” Ὁ μὲν οὖν δήμιος ἐπέσχε
come-down not wound release the indeed then executioner checked
τὴν ὁρμήν· Χαιρέας δὲ λυπούμενος κατέβαινε τοῦ
the stroke Chaereas but grieving came-down from-the
σταυροῦ· χαίρων γὰρ ἀπηλλάσσετο βίου πονήρου καὶ
cross rejoicing for he-was-being-released from-life wretched and
ἔρωτος ἀτυχοῦς. Ἀγομένῳ δὲ αὐτῷ Μιθριδάτης ἀπήντησε
love unhappy being-led and him Mithridates met
καὶ περιπτυξάμενος εἶπεν “ἀδελφὲ καὶ φίλε, μικροῦ με
and having-embraced said brother and friend nearly me
ἐνήδρευσας ἔργον ἀσεβὲς ἐργάσασθαι διὰ τὴν ἐγκρατῆ
you-ensnared a-deed impious to-commit through the self-controlled
μὲν ἀλλ᾽ ἄκαιρόν σου σιωπήν.”
indeed but untimely your silence

Εὐθὺς οὖν προσέταξε τοῖς οἰκέταις ἄγειν ἐπὶ λουτρὰ καὶ 3.7
at-once then ordered the servants to-take-them to baths and
τὰ σώματα θεραπεῦσαι, λουσαμένοις δὲ περιθεῖναι χλανίδας
the bodies to-tend having-bathed and to-put-on cloaks
Ἑλληνικὰς πολυτελεῖς· αὐτὸς δὲ τοὺς γνωρίμους ἐς τὸ
Greek costly he-himself and the notables to the
συμπόσιον παρεκάλει καὶ ἔθυε Χαιρέου σωτήρια. Πότος ἦν
banquet invited and sacrificed of-Chaereas deliverance drinking was
μακρὸς καὶ ἡδεῖα φιλοφρόνησις καὶ θυμηδίας οὐδὲν ἐνέδει.
long and pleasant friendliness and of-delight nothing was-lacking
Προκοπτούσης δὲ τῆς εὐωχίας θερμανθεὶς Μιθριδάτης 3.8
advancing and the feast heated Mithridates
οἴνῳ καὶ ἔρωτι "μὴ γὰρ τὰ δεσμὰ καὶ τὸν σταυρὸν
with-wine and love not for the bonds and the cross
ἐλεῶ σου, Χαιρέα" φησίν, "ἀλλ' ὅτι τοιαύτης γυναικὸς
I-pity of-you Chaereas he-says but that of-such a-wife
ἀφῃρέθης." Ἐκπλαγεὶς οὖν ὁ Χαιρέας ἀνέκραγε "ποῦ
you-were-robbed astounded then — Chaereas cried-out where
γὰρ σὺ Καλλιρρόην εἶδες τὴν ἐμήν;" "Οὐκέτι σὴν" εἶπεν
for you Callirhoe saw the my no-longer yours said
ὁ Μιθριδάτης, "ἀλλὰ Διονυσίου τοῦ Μιλησίου νόμῳ
— Mithridates but of-Dionysius the Milesian by-law
γαμηθεῖσαν· ἤδη δὲ καὶ τέκνον ἐστὶν αὐτοῖς."
married already and also a-child there-is to-them
Οὐκ ἐκαρτέρησεν ὁ Χαιρέας ἀκούσας, ἀλλὰ τοῖς γόνασι 3.9
not endured — Chaereas having-heard but at-the knees
Μιθριδάτου προσπεσὼν "ἱκετεύω σε, πάλιν, ὦ δέσποτα,
of-Mithridates having-fallen I-beseech you again O master
τὸν σταυρόν μοι ἀπόδος. Χεῖρόν με βασανίζεις, ἐπὶ
the cross to-me give-back worse me you-torture with
τοιούτῳ διηγήματι ζῆν ἀναγκάζων.
such a-tale to-live compelling

3.10 Ἄπιστε Καλλιρρόη καὶ πασῶν ἀσεβεστάτη γυναικῶν, ἐγὼ
faithless Callirhoe and of-all most-impious women I
μὲν ἐπράθην διὰ σὲ καὶ ἔσκαψα καὶ σταυρὸν ἐβάστασα
indeed was-sold because-of you and dug and a-cross carried
καὶ δημίου χερσὶ παρεδόθην, σὺ δὲ ἐτρύφας καὶ
and of-an-executioner to-the-hands was-handed-over you but lived-in-luxury and
γάμους ἔθυες ἐμοῦ δεδεμένου. Οὐκ ἤρκεσεν ὅτι γυνὴ
a-wedding celebrated I being-bound not it-sufficed that wife
γέγονας ἄλλου Χαιρέου ζῶντος, γέγονας δὲ καὶ μήτηρ."
you-have-become of-another Chaereas living you-have-become but also a-mother

3.11 Κλάειν ἤρξαντο πάντες καὶ μετέβαλε τὸ συμπόσιον
to-weep began all and changed the banquet
εἰς σκυθρωπὴν ὑπόθεσιν. Μόνος ἐπὶ τούτοις Μιθριδάτης
into a-gloomy scene alone at these-things Mithridates
ἔχαιρεν, ἐλπίδα τινὰ λαμβάνων ἐρωτικήν, ὡς δυνάμενος
rejoiced hope some taking of-love as being-able
ἤδη καὶ λέγειν καὶ πράττειν τι περὶ Καλλιρρόης,
now both to-say and to-do something about Callirhoe
ἵνα δοκῇ φίλῳ βοηθεῖν.
so-that he-might-seem a-friend to-help

3.12 "Ἄρτι μὲν οὖν" ἔφη, "νὺξ γάρ ἐστιν, ἀπίωμεν, τῇ
now indeed then he-said night for it-is let-us-go on-the
δ' ὑστεραίᾳ νήφοντες βουλευώμεθα περὶ τούτων· δεῖται
and next-day sober let-us-deliberate about these-things needs
γὰρ ἡ σκέψις σχολῆς μακροτέρας." Ἐπὶ τούτοις ἀναστὰς
for the inquiry leisure longer on this having-risen
διέλυσε τὸ συμπόσιον καὶ αὐτὸς μὲν ἀνεπαύετο, καθάπερ
he-dissolved the banquet and he-himself indeed went-to-rest as
ἦν ἔθος αὐτῷ, τοῖς δὲ Συρακουσίοις νεανίσκοις θεραπείαν
was custom for-him to-the and Syracusan young-men attendance
τε καὶ οἶκον ἐξαίρετον ἀπέδειξε.
both and a-house special he-assigned

Νὺξ ἐκείνη φροντίδων μεστὴ πάντας κατελάμβανε καὶ 4.1
night that of-cares full all overtook and
οὐδεὶς ἐδύνατο καθεύδειν· Χαιρέας μὲν γὰρ ὠργίζετο,
no-one could sleep Chaereas indeed for was-angry
Πολύχαρμος δὲ παρεμυθεῖτο, Μιθριδάτης δὲ ἔχαιρεν
Polycharmus and was-consoling Mithridates and was-rejoicing
ἐλπίζων ὅτι καθάπερ ἐν τοῖς ἀγῶσι τοῖς γυμνικοῖς ἔφεδρος
hoping that as in the contests the athletic a-bye-holder
ὢν μεταξὺ Χαιρέου τε καὶ Διονυσίου αὐτὸς ἀκονιτὶ
being between Chaereas both and Dionysius he-himself without-a-fight
τὸ ἆθλον Καλλιρρόην ἀποίσεται.
the prize Callirhoe would-carry-off
Τῆς δ' ὑστεραίας προτεθείσης τῆς γνώμης ὁ μὲν 4.2
on-the and next-day having-been-put-forward the question — indeed
Χαιρέας εὐθὺς ἠξίου βαδίζειν εἰς Μίλητον καὶ Διονύσιον
Chaereas at-once demanded to-go to Miletus and Dionysius
ἀπαιτεῖν τὴν γυναῖκα· μὴ γὰρ ἂν μηδὲ Καλλιρρόην ἐμμένειν
to-demand-back the wife not for — even Callirhoe to-stay
ἰδοῦσαν αὐτόν· ὁ δὲ Μιθριδάτης "ἐμοῦ μὲν ἕνεκα"
having-seen him — but Mithridates me indeed as-far-as-concerns
φησὶν "ἄπιθι, βούλομαι γάρ σε μηδεμίαν ἡμέραν ἀπεζεῦχθαι
he-says go I-wish for you not-a-single day to-be-parted
τῆς γυναικός· ὄφελον μηδὲ Σικελίας ἐξήλθετε, μηδὲ
from-the wife would-that not-even Sicily you-had-left nor
συνέβη τι δεινὸν ἀμφοῖν· ἐπεὶ δὲ ἡ φιλόκαινος τύχη
had-happened anything terrible to-both since but the novelty-loving fortune
δρᾶμα σκυθρωπὸν ὑμῖν περιτέθεικε, βουλεύσασθαι δεῖ
a-drama gloomy for-you has-staged to-deliberate it-is-necessary
περὶ τῶν ἑξῆς φρονιμώτερον· νῦν γὰρ σπεύδεις πάθει
about the next-steps more-wisely now for you-hurry by-passion
μᾶλλον ἢ λογισμῷ μηδὲν τῶν μελλόντων προορώμενος.
rather than reason nothing of-the future foreseeing

4.3 Μόνος καὶ ξένος εἰς πόλιν ἀπέρχῃ τὴν μεγίστην καὶ ἀνδρὸς
alone and a-stranger into a-city you-go the greatest and of-a-man
πλουσίου καὶ πρωτεύοντος ἐν Ἰωνίᾳ θέλεις ἀποσπάσαι
rich and foremost in Ionia you-wish to-tear-away
γυναῖκα ἐξαιρέτως αὐτῷ συναφθεῖσαν ποίᾳ δυνάμει
a-wife specially to-him joined in-what power
πεποιθώς; μακρὰν Ἑρμοκράτης σου καὶ Μιθριδάτης οἱ
trusting far-away Hermocrates from-you and Mithridates the
μόνοι σύμμαχοι, πενθῆσαι δυνάμενοί σε μᾶλλον ἢ βοηθῆσαι.
only allies to-mourn able you rather than to-help

4.4 Φοβοῦμαι καὶ τὴν τύχην τοῦ τόπου. Δεινὰ μὲν ἐκεῖ
I-fear also the fortune of-the place terrible-things indeed there
πέπονθας ἤδη· δόξει δέ σοι τὰ τότε φιλανθρωπότερα.
you-have-suffered already will-seem but to-you the-things then kinder
Ἐδέθης μέν, ἀλλ' ἔζησας· ἐπράθης, ἀλλ' ἐμοί. Νῦν δέ, ἂν
you-were-bound indeed but you-lived you-were-sold but to-me now but if
αἴσθηται Διονύσιος ἐπιβουλεύοντα τοῖς γάμοις αὐτοῦ, τίς
perceives Dionysius plotting-against the marriage his which
σε θεῶν δυνήσεται σῶσαι; Παραδοθήσῃ δὲ ἀντεραστῇ
you of-gods will-be-able to-save you-will-be-handed-over and to-a-rival
τυράννῳ, καὶ τάχα μὲν οὐδὲ πιστευθήσῃ Χαιρέας εἶναι,
a-tyrant and perhaps indeed not-even you-will-be-believed Chaereas to-be
κινδυνεύσεις δὲ μᾶλλον, κἂν ἀληθῶς εἶναί σε νομίσῃ.
you-will-be-in-danger but more even-if truly to-be you he-believes

4.5 Σὺ μόνος ἀγνοεῖς τὴν φύσιν τοῦ ἔρωτος, ὅτι οὗτος
you alone are-ignorant-of the nature of-the love that this
ὁ θεὸς ἀπάταις χαίρει καὶ δόλοις; δοκεῖ δέ μοι
the god in-deceits delights and tricks it-seems-good and to-me

πρῶτον ἀποπειραθῆναί σε τῆς γυναικὸς διὰ γραμμάτων
first to-sound-out you the wife by letter
εἰ μέμνηταί σου καὶ Διονύσιον θέλει καταλιπεῖν ἢ
whether she-remembers you and Dionysius wishes to-leave or

κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίῃ.
his she-wishes house to-increase who — weds-her

Ἐπιστολὴν γράψον αὐτῇ· λυπηθήτω, χαρήτω, ζητησάτω, 4.6
a-letter write to-her let-her-grieve let-her-rejoice let-her-seek
καλεσάτω· τῆς δὲ τῶν γραμμάτων διαπομπῆς ἐγὼ
let-her-call of-the and the letter delivery I
προνοήσομαι. Βάδιζε καὶ γράφε." Πείθεται Χαιρέας καὶ ἐπ᾽
will-take-care go and write agrees Chaereas and in
ἐρημίας γενόμενος ἤθελε γράφειν, ἀλλ᾽ οὐκ ἐδύνατο, δακρύων
solitude having-become he-wished to-write but not he-could tears
ἐπιρρεόντων καὶ τῆς χειρὸς αὐτοῦ τρεμούσης. Ἀποκλαύσας
flowing and the hand his trembling having-bewailed
δὲ τὰς ἑαυτοῦ συμφορὰς μόλις ἤρξατο τοιαύτης ἐπιστολῆς
and the his-own misfortunes hardly he-began such a-letter
ΚΑΛΛΙΡΡΟΗΙ ΧΑΙΡΕΑΣ
to-Callirhoe Chaereas
Ζῶ, καὶ ζῶ διὰ Μιθριδάτην, τὸν ἐμὸν εὐεργέτην, ἐλπίζω 4.7
I-live and I-live through Mithridates the my benefactor I-hope
δὲ καὶ σόν· ἐπράθην γὰρ εἰς Καρίαν ὑπὸ βαρβάρων,
and also yours I-was-sold for into Caria by barbarians
οἵτινες ἐνέπρησαν τριήρη τὴν καλήν, τὴν στρατηγικήν,
who burned the-trireme the fine the flagship
τὴν τοῦ σοῦ πατρός· ἐξέπεμψε δὲ ἐπ᾽ αὐτῆς ἡ πόλις
the of-the your father sent-out and on it the city
πρεσβείαν ὑπὲρ σοῦ. Τοὺς μὲν οὖν ἄλλους πολίτας οὐκ
an-embassy for you the indeed then other citizens not

οἶδ᾽ ὅ τι γεγόνασιν, ἐμὲ δὲ καὶ Πολύχαρμον τὸν
I-know what ever has-become-of-them me but and Polycharmus the
φίλον ἤδη μέλλοντας φονεύεσθαι σέσωκεν ἔλεος δεσπότου.
friend already about to-be-killed has-saved the-pity of-a-master
4.8 Πάντα δὲ Μιθριδάτης εὐεργετήσας τοῦτό με λελύπηκεν
in-all-things but Mithridates having-benefited-me this me has-grieved
ἀντὶ πάντων, ὅτι μοι τὸν σὸν γάμον διηγήσατο·
instead-of all that to-me the your marriage he-related
θάνατον μὲν γὰρ ἄνθρωπος ὢν προσεδόκων, τὸν δὲ σὸν
death indeed for human being I-expected the but your
γάμον οὐκ ἤλπισα. Ἀλλ᾽ ἱκετεύω, μετανόησον. Κατασπένδω
marriage not I-expected but I-beseech change-your-mind I-pour-over
τούτων μου τῶν γραμμάτων δάκρυα καὶ φιλήματα.
these my the letters tears and kisses
4.9 Ἐγὼ Χαιρέας εἰμὶ ὁ σὸς ἐκεῖνος, ὃν εἶδες παρθένος εἰς
I Chaereas am the your that-one whom you-saw a-maiden to
Ἀφροδίτην βαδίζουσα, δι᾽ ὃν ἠγρύπνησας. Μνήσθητι τοῦ
Aphrodite going for whom you-lay-awake remember the
θαλάμου καὶ τῆς νυκτὸς τῆς μυστικῆς, ἐν ᾗ πρῶτον
bridal-chamber and the night the mystic in which first
σὺ μὲν ἀνδρός, ἐγὼ δὲ γυναικὸς πεῖραν ἐλάβομεν. Ἀλλ᾽
you indeed of-a-husband I and of-a-wife experience we-had but
ἐζηλοτύπησα. Τοῦτο ἴδιόν ἐστι φιλοῦντος. Δέδωκά σοι
I-was-jealous this proper is to-a-lover I-have-paid to-you
δίκας.
the-penalty
4.10 Ἐπράθην, ἐδούλευσα, ἐδέθην. Μή μοι μνησικακήσῃς
I-was-sold I-was-a-slave I-was-bound not against-me bear-a-grudge
τοῦ λακτίσματος τοῦ προπετοῦς· κἀγὼ γὰρ ἐπὶ σταυρὸν
for-the kick the rash I-too for onto a-cross
ἀνέβην διὰ σέ, σοὶ μηδὲν ἐγκαλῶν. Εἰ μὲν οὖν ἔτι
went-up because-of you you in-nothing blaming if indeed then still

μνημονεύσειας, οὐδὲν ἔπαθον· εἰ δὲ ἄλλο τι φρονεῖς,
you-should-remember-me nothing I-have-suffered if but other something you-think
θανάτου μοι δώσεις ἀπόφασιν.
of-death to-me you-will-give sentence

Ταύτην τὴν ἐπιστολὴν ἔδωκεν Ὑγίνῳ τῷ πιστοτάτῳ, ὃν καὶ 5.1
this the letter he-gave to-Hyginus the most-trusted whom also
διοικητὴν εἶχεν ἐν Καρίᾳ τῆς ὅλης οὐσίας, παραγυμνώσας
as-manager he-had in Caria of-the whole estate having-revealed
αὐτῷ καὶ τὸν ἴδιον ἔρωτα. Ἔγραψε δὲ καὶ αὐτὸς πρὸς
to-him also the own love wrote and also himself to
Καλλιρρόην, εὔνοιαν ἐπιδεικνύμενος αὐτῇ καὶ κηδεμονίαν, ὅτι
Callirhoe goodwill showing her and concern that
δι' ἐκείνην Χαιρέαν ἔσωσε, καὶ συμβουλεύων μὴ ὑβρίσαι τὸν
for her Chaereas he-saved and advising not to-wrong the
πρῶτον ἄνδρα, ὑπισχνούμενος αὐτὸς στρατηγήσειν ὅπως
first husband promising himself to-be-going-to-contrive that
ἀλλήλους ἀπολάβωσιν, ἂν καὶ τὴν ἐκείνης προσλάβῃ ψῆφον.
each-other they-recover if also the her he-gain vote

Συνέπεμψε δὲ τῷ Ὑγίνῳ τρεῖς ὑπηρέτας καὶ δῶρα 5.2
sent-along and — with-Hyginus three attendants and gifts
πολυτελῆ καὶ χρυσίον συχνόν· εἴρητο δὲ πρὸς τοὺς
costly and gold much it-had-been-said and to the
ἄλλους οἰκέτας, ὅτι πέμπει ταῦτα Διονυσίῳ, πρὸς τὸ
other servants that he-sends these to-Dionysius for the
ἀνύποπτον. Κελεύει δὲ τὸν Ὑγῖνον, ἐπειδὰν ἐν Πριήνῃ
avoiding-suspicion he-orders and — Hyginus when in Priene
γένηται, τοὺς μὲν ἄλλους αὐτοῦ καταλιπεῖν, μόνον
he-is the indeed others there to-leave alone
δὲ αὐτόν, ὡς Ἴωνα (καὶ γὰρ ἡλλήνιζε τῇ φωνῇ)
and himself as an-Ionian and for he-spoke-Greek in-the voice
κατάσκοπον εἰς τὴν Μίλητον πορευθῆναι· εἶτ' ἐπειδὰν
a-scout to — Miletus to-go then when

μάθῃ πῶς ἂν χρήσαιτο τοῖς πράγμασι, τότε τοὺς ἐκ
he-learns how — he-might-handle the affairs then those from
Πριήνης εἰς Μίλητον ἀπαγαγεῖν.
Priene to Miletus to-bring

5.3 Ὁ μὲν οὖν ἀπῄει καὶ ἔπραττε τὰ κεκελευσμένα, ἡ
he indeed then went-off and did the-things ordered the
τύχη δὲ οὐχ ὅμοιον τῇ γνώμῃ τὸ τέλος ἐβράβευσεν,
fortune but not like to-the plan the end awarded
ἀλλὰ μειζόνων πραγμάτων ἐκίνησεν ἀρχήν. Ἐπειδὴ γὰρ
but of-greater events set-in-motion a-beginning when for
Ὑγῖνος εἰς Μίλητον ἀπηλλάγη, καταλειφθέντες οἱ δοῦλοι
Hyginus to Miletus had-gone left-behind the slaves
τοῦ προεστηκότος ἔρημοι πρὸς ἀσωτίαν ὥρμων, ἔχοντες
of-the leader deprived to debauchery rushed having
χρυσίον ἄφθονον.
gold plentiful

5.4 Ἐν πόλει δὲ μικρᾷ καὶ περιεργίας Ἑλληνικῆς πλήρει
in a-city and small and of-curiosity Greek full
ξενικὴ πολυτέλεια τοὺς πάντων ἐπέστρεψεν ὀφθαλμούς·
foreign extravagance the of-all turned eyes
ἄγνωστοι γὰρ ἄνθρωποι καὶ τρυφῶντες ἔδοξαν αὐτοῖς
unknown for men and living-luxuriously seemed to-them
μάλιστα μὲν λῃσταί, δραπέται δὲ πάντως.
most-likely indeed robbers runaways and certainly

5.5 Ἦκεν οὖν εἰς τὸ πανδοκεῖον ὁ στρατηγὸς καὶ
came then to the inn the magistrate and
διερευνώμενος εὗρε χρυσίον καὶ κόσμον πολυτελῆ· φώρια
searching found gold and jewelry costly stolen-goods
δὲ νομίσας ἀνέκρινε τοὺς οἰκέτας τίνες εἶεν
and having-thought-them questioned the servants who they-were
καὶ πόθεν ταῦτα. Φόβῳ δὲ βασάνων κατεμήνυσαν
and whence these-things from-fear and of-torture they-disclosed

τὴν ἀλήθειαν ὅτι Μιθριδάτης ὁ Καρίας ὕπαρχος δῶρα
the truth that Mithridates the of-Caria governor gifts
πέπομφε Διονυσίῳ, καὶ τὰς ἐπιστολὰς ἐπεδείκνυσαν.
has-sent to-Dionysius and the letters they-showed
Ὁ δὲ στρατηγὸς τὰ μὲν γράμματα οὐκ ἔλυσεν· ἦν 5.6
the and magistrate the indeed letters not opened they-were
γὰρ ἔξωθεν κατασεσημασμένα, δημοσίοις δὲ παραδοὺς
for outside sealed to-public-slaves and having-handed
ἅπαντα μετὰ τῶν οἰκετῶν ἔπεμψε πρὸς Διονύσιον,
all with the servants sent to Dionysius
εὐεργεσίαν εἰς αὐτὸν κατατίθεσθαι νομίζων.
a-service to him to-be-doing thinking
Ἐτύγχανε μὲν οὖν ἑστιῶν τοὺς ἐπιφανεστάτους τῶν 5.7
happened indeed then entertaining the most-distinguished of-the
πολιτῶν καὶ λαμπρὸν τὸ συμπόσιον ἦν, ἤδη δέ που
citizens and splendid the banquet was already and somewhere
καὶ αὐλὸς ἐφθέγγετο καὶ δι᾽ ᾠδῆς ἠκούετο μέλος.
even a-pipe sounded and through song was-heard a-tune
Μεταξὺ δὲ ἐπέδωκέ τις αὐτῷ τὴν ἐπιστολὴν
meanwhile and handed someone him the letter
ΣΤΡΑΤΗΓΟΣ ΠΡΙΗΝΕΩΝ ΒΙΑΣ ΕΥΕΡΓΕΤΗΙ ΔΙΟΝΥΣΙΩΙ
magistrate of-Prieneans Bias to-benefactor to-Dionysius
ΧΑΙΡΕΙΝ
greeting
Δῶρα καὶ γράμματα κομιζόμενά σοι παρὰ Μιθριδάτου
gifts and letters being-brought to-you from Mithridates
τοῦ Καρίας ὑπάρχου δοῦλοι πονηροὶ κατέφθειρον, οὓς
the of-Caria governor slaves wicked were-squandering whom
ἐγὼ συλλαβὼν ἀνέπεμψα πρὸς σέ.
I having-arrested have-sent-up to you

5.8 Ταύτην τὴν ἐπιστολὴν ἐν μέσῳ τῷ συμποσίῳ Διονύσιος
this the letter in middle-of the banquet Dionysius
ἀνέγνω, καλλωπιζόμενος ἐπὶ ταῖς βασιλικαῖς δωρεαῖς·
read priding-himself on the royal gifts
ἐντεμεῖν δὲ τὰς σφραγῖδας κελεύσας ἐντυγχάνειν ἐπειρᾶτο
to-cut and the seals having-ordered to-read he-tried
τοῖς γράμμασιν. Εἶδεν οὖν ΚΑΛΛΙΡΡΟΗΙ ΧΑΙΡΕΑΣ. Ζῶ.
the letters he-saw then to-Callirhoe Chaereas I-live

5.9 Τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
his and on-the-spot were-loosed knees and dear heart

εἶτα σκότος τῶν ὀφθαλμῶν αὐτοῦ κατεχύθη. Καὶ μέντοι
then darkness over-the eyes his was-poured and yet
λιποθυμήσας ὅμως ἐκράτησε τὰ γράμματα, φοβούμενος
having-fainted still he-held-fast the letters fearing
ἄλλον αὐτοῖς ἐντυχεῖν. Θορύβου δὲ καὶ συνδρομῆς
another them to-read uproar and and a-rush
γενομένης ἐπηγέρθη, καὶ συνεὶς τὸ πάθος ἐκέλευσε
having-arisen he-came-to and having-understood the situation ordered
τοῖς οἰκέταις μετενεγκεῖν αὐτὸν εἰς ἕτερον οἰκίσκον, ὡς
the servants to-carry him into another room as
δῆθεν βουλόμενος ἡρεμίας μετασχεῖν.
supposedly wishing quiet to-have

5.10 Τὸ μὲν οὖν συμπόσιον σκυθρωπῶς διελύθη (φαντασία
the indeed then banquet gloomily broke-up an-impression
γὰρ ἀποπληξίας αὐτοὺς ἔσχε), Διονύσιος δὲ καθ' ἑαυτὸν
for of-a-stroke them held Dionysius and by himself
γενόμενος πολλάκις ἀνεγίνωσκε τὰς ἐπιστολάς. Κατελάμβανε
having-become many-times read the letters seized
δὲ αὐτὸν πάθη ποικίλα, θυμός, ἀθυμία, φόβος, ἀπιστία.
and him feelings varied anger despondency fear disbelief

Ζῆν μὲν οὖν Χαιρέαν οὐκ ἐπίστευε (τοῦτο γὰρ οὐδὲ
to-live indeed then Chaereas not he-believed this for not
ὅλως ἤθελε), σκῆψιν δὲ μοιχικὴν ὑπελάμβανε Μιθριδάτου
at-all he-wished a-pretext but adulterous he-supposed Mithridates
διαφθεῖραι θέλοντος Καλλιρρόην ἐλπίδι Χαιρέου.
to-seduce wishing Callirhoe by-the-hope of-Chaereas

III · SUMMONED TO BABYLON

Dionysius guards Callirhoe closely and lays his complaint before Pharnaces, governor of Lydia and Ionia, who loves her himself and writes to the king. After a divided council, Artaxerxes summons Dionysius and Mithridates to trial, and, on the rumor of her beauty, the woman too. Mithridates thinks of revolt but sets out from Caria trusting his innocence. Callirhoe's fame runs ahead of her on the road, and Dionysius, fearing every man as a rival, regrets his complaint. He tells her the king wants his counsel on Ionia, and she grieves to leave the Greek sea: at Miletus Syracuse seemed near, and Chaereas' tomb was there.

Μεθ' ἡμέραν οὖν τήρησιν ἐποιεῖτο τῆς γυναικὸς 6.1
at daybreak then watch he-kept of-the wife
ἀκριβεστέραν, ἵνα μή τις αὐτῇ προσέλθῃ μηδ' ἀπαγγείλῃ
stricter so-that not anyone her approach nor report
τι τῶν ἐν Καρίᾳ διηγημάτων· αὐτὸς δὲ ἄμυναν ἐπενόησε
any of-the in Caria tidings he-himself and a-defense devised
τοιαύτην. Ἐπεδήμει κατὰ καιρὸν ὁ Λυδίας καὶ Ἰωνίας
such was-visiting by chance the of-Lydia and Ionia
ὕπαρχος Φαρνάκης, ὃς δὴ καὶ μέγιστος εἶναι δοκεῖ τῶν
governor Pharnaces who indeed also greatest to-be seems of-those
ὑπὸ βασιλέως καταπεμπομένων ἐπὶ θάλατταν. Ἐπὶ τοῦτον
by the-king sent-down to the-sea to him
ἦλθεν ὁ Διονύσιος, ἦν γὰρ αὐτῷ φίλος, καὶ ἰδιολογίαν
came — Dionysius he-was for to-him a-friend and a-private-talk

ᾐτήσατο. "Ἱκετεύω σε" φησίν, "ὦ δέσποτα, βοήθησον
asked I-beseech you he-says O lord help
ἐμοί τε καὶ σεαυτῷ. Μιθριδάτης γάρ, ὁ κάκιστος ἀνδρῶν,
me both and yourself Mithridates for the worst of-men
καὶ σοὶ φθονῶν, ξένος μου γενόμενος ἐπιβουλεύει μου
and you envying a-guest-friend my having-become plots-against my
τῷ γάμῳ καὶ πέπομφε γράμματα μοιχικὰ μετὰ χρυσίου
the marriage and has-sent letters adulterous with gold
πρὸς τὴν γυναῖκα τὴν ἐμήν."
to the wife the my

6.2 Ἐπὶ τούτοις ἀνεγίνωσκε τὰς ἐπιστολὰς καὶ διηγεῖτο τὴν
upon this he-read the letters and related the
τέχνην. Ἄσμενος ἤκουσε Φαρνάκης τῶν λόγων τάχα μὲν
trick gladly heard Pharnaces the words perhaps indeed
καὶ διὰ Μιθριδάτην (ἐγεγόνει γὰρ αὐτοῖς οὐκ ὀλίγα
also because-of Mithridates there-had-been for between-them not few
προσκρούσματα διὰ τὴν γειτνίασιν), τὸ δὲ πλέον διὰ
clashes because-of the neighborhood the but more because-of
τὸν ἔρωτα· καὶ γὰρ αὐτὸς ἐκάετο τῆς Καλλιρρόης καὶ
the love and for he-himself burned — for-Callirhoe and
δι' αὐτὴν ἐπεδήμει τὰ πολλὰ Μιλήτῳ, καλῶν ἐπὶ τὰς
because-of her he-stayed the most-part in-Miletus inviting to the
ἑστιάσεις Διονύσιον μετὰ τῆς γυναικός.
banquets Dionysius with the wife

6.3 Ὑπέσχετο οὖν βοηθήσειν αὐτῷ κατὰ τὸ δυνατὸν καὶ
he-promised then to-be-going-to-help him according-to the possible and
γράφει δι' ἀπορρήτων ἐπιστολήν.
writes in secret a-letter

ΒΑΣΙΛΕΙ ΒΑΣΙΛΕΩΝ ΑΡΤΑΞΕΡΞΗΙ ΣΑΤΡΑΠΗΣ
to-king of-kings Artaxerxes satrap
ΛΥΔΙΑΣ ΚΑΙ ΙΩΝΙΑΣ ΦΑΡΝΑΚΗΣ ΙΔΙΩΙ ΔΕΣΠΟΤΗΙ
of-Lydia and Ionia Pharnaces to-his-own master
ΧΑΙΡΕΙΝ.
greeting

Διονύσιος ὁ Μιλήσιος δοῦλός ἐστι σὸς ἐκ προγόνων πιστὸς 6.4
Dionysius the Milesian a-slave is your from ancestors faithful
καὶ πρόθυμος εἰς τὸν σὸν οἶκον. Οὗτος ἀπωδύρατο πρός με
and zealous toward the your house he complained to me
ὅτι Μιθριδάτης ὁ Καρίας ὕπαρχος ξένος αὐτῷ γενόμενος
that Mithridates the of-Caria governor guest-friend his having-become
διαφθείρει αὐτοῦ τὴν γυναῖκα. Φέρει δὲ μεγάλην ἀδοξίαν
is-seducing his the wife brings and great discredit
εἰς τὰ σὰ πράγματα, μᾶλλον δὲ ταραχήν. Πᾶσα μὲν γὰρ
to the your affairs rather and disturbance every indeed for
παρανομία σατράπου μεμπτή, μάλιστα δὲ αὕτη. Καὶ γὰρ
lawlessness of-a-satrap blameworthy most and this and for
ὁ Διονύσιός ἐστι δυνατώτατος Ἰώνων καὶ τὸ κάλλος τῆς
— Dionysius is most-powerful of-Ionians and the beauty of-the
γυναικὸς περιβόητον, ὥστε τὴν ὕβριν μὴ δύνασθαι λαθεῖν.
wife famous so-that the outrage not to-be-able to-be-hidden
Ταύτην τὴν ἐπιστολὴν κομισθεῖσαν βασιλεὺς ἀνέγνω τοῖς 6.5
this the letter delivered the-king read to-the
φίλοις καὶ τί χρὴ πράττειν ἐβουλεύετο. Γνῶμαι δὲ
friends and what one-must to-do deliberated opinions and
ἐρρήθησαν διάφοροι· τοῖς μὲν γὰρ Μιθριδάτῃ φθονοῦσιν
were-voiced differing to-those indeed for Mithridates envying
ἢ τὴν σατραπείαν αὐτοῦ μνωμένοις, ἐδόκει μὴ
or the satrapy his courting it-seemed-good not
περιορᾶν ἐπιβουλὴν εἰς γάμον ἀνδρὸς ἐνδόξου, τοῖς
to-overlook a-plot against the-marriage of-a-man distinguished to-those

δὲ ῥᾳθυμοτέροις τὰς φύσεις ἢ τιμῶσι τὸν Μιθριδάτην
but more-easygoing in-the natures or honoring — Mithridates
(εἶχε δὲ πολλοὺς *** προεστηκότας) οὐκ ἤρεσκεν
he-had and many (lacuna) champions not it-pleased
ἀνάρπαστον ἐκ διαβολῆς ποιεῖν ἄνδρα δόκιμον.
seized on slander to-make a-man of-repute

6.6 Ἀνωμάλων δὲ τῶν γνωμῶν γενομένων ἐκείνης μὲν τῆς
divided and the opinions having-been that indeed the
ἡμέρας οὐδὲν ἐπεκύρωσεν βασιλεύς, ἀλλ' ὑπερέθετο τὴν
day nothing ratified the-king but postponed the
σκέψιν· νυκτὸς δὲ ἐπελθούσης ὑπεδύετο αὐτὸν μισοπονηρία
inquiry night and having-come-on crept-into him hatred-of-wickedness
μὲν διὰ τὸ τῆς βασιλείας εὐπρεπές, εὐλάβεια δὲ
indeed because-of the of-the kingship dignity caution and
περὶ τοῦ μέλλοντος· ἀρχὴν γὰρ ἔχειν τὸν Μιθριδάτην
about the future a-beginning for to-have — Mithridates
καταφρονήσεως.
of-contempt

6.7 Ὥρμησεν οὖν· καλεῖν ἐπὶ τὴν δίκην αὐτόν· ἄλλο δὲ
he-was-eager then to-summon to the trial him another and
πάθος παρῄνει μεταπέμπεσθαι καὶ τὴν γυναῖκα τὴν καλήν.
feeling urged to-send-for also the woman the beautiful
Σύμβουλοι μὲν οὖν νὺξ καὶ σκότος ἐν ἐρημίᾳ γενόμενοι
counselors indeed then night and darkness in solitude having-been
καὶ τούτου τοῦ μέρους τῆς ἐπιστολῆς ἀνεμίμνησκον
even this — part of-the letter reminded
βασιλέα, προσηρέθιζε δὲ καὶ φήμη, Καλλιρρόην τινὰ
the-king provoked and also a-rumor Callirhoe a-certain
καλλίστην ἐπὶ τῆς Ἰωνίας εἶναι· καὶ τοῦτο μόνον ἐμέμφετο
most-beautiful in — Ionia to-be and this only blamed

βασιλεὺς Φαρνάκην, ὅτι οὐ προσέγραψεν ἐν τῇ ἐπιστολῇ
the-king Pharnaces that not he-added in the letter
τοὔνομα τῆς γυναικός.
the-name of-the woman
Ὅμως δ' ἐπ' ἀμφιβόλῳ τοῦ τάχα καὶ κρείττονα τυγχάνειν 6.8
still and on the-doubt the perhaps even fairer to-be
τῆς φημιζομένης ἑτέραν ἔδοξε καλέσαι καὶ τὴν
than-the famed-one another it-seemed-good to-summon also the
γυναῖκα. Γράφει δὲ πρὸς Φαρνάκην
woman writes and to Pharnaces
Διονύσιον, ἐμὸν δοῦλον, Μιλήσιον, πέμψον
Dionysius my slave Milesian send
πρὸς δὲ Μιθριδάτην
to and Mithridates
Ἧκε ἀπολογησόμενος ὅτι οὐκ ἐπεβούλευσας γάμῳ
come to-defend-yourself that not you-plotted-against the-marriage
Διονυσίου.
of-Dionysius
Καταπλαγέντος δὲ τοῦ Μιθριδάτου καὶ ἀποροῦντος τὴν 7.1
astounded and — Mithridates and at-a-loss-for the
αἰτίαν τῆς διαβολῆς ὑποστρέψας ὁ Ὑγῖνος ἐδήλωσε
cause of-the accusation having-returned — Hyginus revealed
τὰ πεπραγμένα περὶ τοὺς οἰκέτας. Προδοθεὶς οὖν
the-things done about the servants betrayed then
ὑπὸ τῶν γραμμάτων ἐβουλεύετο μὴ βαδίζειν ἄνω,
by the letters he-planned not to-go up-country
δεδοικὼς τὰς διαβολὰς καὶ τὸν θυμὸν τὸν βασιλέως,
fearing the slanders and the wrath the king's
ἀλλὰ Μίλητον μὲν καταλαβεῖν καὶ Διονύσιον ἀνελεῖν τὸν
but Miletus indeed to-seize and Dionysius to-kill the
αἴτιον, Καλλιρρόην δ' ἁρπάσας ἀποστῆναι βασιλέως.
culprit Callirhoe and having-carried-off to-revolt-from the-king

7.2 "Τί γὰρ σπεύδεις" φησὶ "παραδοῦναι δεσπότου χερσὶ τὴν
why for you-hurry he-says to-hand-over of-a-master to-the-hands the
ἐλευθερίαν; τάχα δὲ καὶ κρατήσεις ἐνθάδε μένων· μακρὰν γάρ
freedom perhaps and even you-will-prevail here staying far-away for
ἐστι βασιλεὺς καὶ φαυλοὺς ἔχει στρατηγούς· εἰ δὲ καὶ ἄλλως
is the-king and poor he-has generals if and even otherwise
ἀθετήσειεν, οὐδὲν δυνήσῃ χεῖρον παθεῖν. Ἐν τοσούτῳ δὲ
it-should-fail nothing you-will-be-able worse to-suffer in the-meantime and
σὺ μὴ προδῷς δύο τὰ κάλλιστα, ἔρωτα καὶ ἀρχήν. Ἐντάφιον
you not betray two the finest-things love and power a-shroud
ἔνδοξον ἡ ἡγεμονία καὶ μετὰ Καλλιρρόης θάνατος ἡδύς."
glorious the command and with Callirhoe death sweet

7.3 Ἔτι ταῦτα βουλευομένου καὶ παρασκευαζομένου πρὸς
still these-things deliberating and preparing for
ἀπόστασιν ἦκέ τις ἀγγέλλων ὡς Διονύσιος ἐξώρμηκε
revolt came someone reporting that Dionysius has-set-out
Μιλήτου καὶ Καλλιρρόην ἐπάγεται. Τοῦτο λυπηρότερον
from-Miletus and Callirhoe is-taking-along this more-painfully
ἤκουσε Μιθριδάτης ἢ τὸ πρόσταγμα τὸ καλοῦν ἐπὶ
heard Mithridates than the order the-one summoning to
τὴν δίκην· ἀποκλαύσας δὲ τὴν ἑαυτοῦ συμφορὰν "ἐπὶ
the trial having-bewailed and the his-own misfortune on
ποίαις" φησὶν "ἐλπίσιν ἔτι μένω;
what he-says hopes still I-stay

7.4 προδίδωσί με πανταχόθεν ἡ τύχη. Τάχα γὰρ ἐλεήσει με
betrays me on-every-side the fortune perhaps for will-pity me
βασιλεὺς μηδὲν ἀδικοῦντα· εἰ δὲ ἀποθανεῖν δεήσειε,
the-king in-nothing doing-wrong if but to-die it-should-be-necessary
πάλιν ὄψομαι Καλλιρρόην· κἂν ἐν τῇ κρίσει Χαιρέαν
again I-will-see Callirhoe even at the trial Chaereas
ἕξω μετ' ἐμαυτοῦ καὶ Πολύχαρμον οὐ συνηγόρους μόνον,
I-will-have with myself and Polycharmus not advocates only

ἀλλὰ καὶ μάρτυρας.” Πᾶσαν οὖν τὴν θεραπείαν κελεύσας
but also witnesses whole then the retinue having-ordered
συνακολουθεῖν ἐξώρμησε Καρίας, ἀγαθὴν ἔχων ψυχὴν ἐκ
to-follow he-set-out from-Caria good having heart from
τοῦ μηδὲν ἀδικεῖν ἂν δόξαι· ὥστε οὐδὲ μετὰ δακρύων
the nothing to-do-wrong — to-seem so-that not-even with tears
προύπεμψαν αὐτόν, ἀλλὰ μετὰ θυσιῶν καὶ πομπῆς.
they-escorted him but with sacrifices and procession
Ἕνα μὲν οὖν στόλον τοῦτον ἐκ Καρίας ἔστελλεν ὁ 7.5
one indeed then expedition this from Caria was-dispatching —
Ἔρως, ἐξ Ἰωνίας δὲ ἐνδοξότερον ἄλλον· ἐπιφανέστερον
Love from Ionia and more-glorious another more-conspicuous
γὰρ καὶ βασιλικώτερον ἦν τὸ κάλλος. Προύτρεχε γὰρ
for and more-royal was the beauty ran-ahead for
τῆς γυναικὸς ἡ φήμη, καταγγέλλουσα πᾶσιν ἀνθρώποις
of-the woman the fame announcing to-all men
ὅτι Καλλιρρόη παραγίνεται, τὸ περιβόητον ὄνομα, τὸ
that Callirhoe is-coming the famous name the
μέγα τῆς φύσεως κατόρθωμα,
great — of-nature achievement

Ἀρτέμιδι ἰκέλη ἢ χρυσείῃ Ἀφροδίτῃ.
to-Artemis like or golden to-Aphrodite

Ἐνδοξοτέραν αὐτὴν ἐποίει καὶ τὸ τῆς δίκης διήγημα. 7.6
more-famous her made also the of-the trial story
Πόλεις ἀπήντων ὅλαι καὶ τὰς ὁδοὺς ἐστενοχώρουν οἱ
cities came-to-meet whole and the roads crowded those
συντρέχοντες ἐπὶ τὴν θέαν· ἐδόκει δὲ τοῖς πᾶσι τῆς φήμης
running-together to the sight seemed and to-the all than-the fame
ἡ γυνὴ κρείττων. Μακαριζόμενος δὲ Διονύσιος ἐλυπεῖτο,
the woman greater being-congratulated and Dionysius was-grieved

καὶ δειλότερον αὐτὸν ἐποίει τῆς εὐτυχίας τὸ μέγεθος·
and more-fearful him made of-the good-fortune the greatness
οἷα γὰρ πεπαιδευμένος ἐνεθυμεῖτο ὅτι φιλόκαινός ἐστιν ὁ
as for educated he-reflected that novelty-loving is —
Ἔρως· διὰ τοῦτο καὶ τόξα καὶ πῦρ ποιηταί τε καὶ πλάσται
Love for this both bow and fire poets both and sculptors
περιτεθείκασιν αὐτῷ, τὰ κουφότατα καὶ στῆναι μὴ θέλοντα.
have-given him the lightest-things and to-stand-still not willing

7.7 Μνήμη δὲ ἐλάμβανεν αὐτὸν παλαιῶν διηγημάτων, ὅσαι
memory and took-hold-of him of-old stories how-many
μεταβολαὶ γεγόνασι τῶν καλῶν γυναικῶν. Πάντα οὖν
changes there-have-been of-the beautiful women everything then
Διονύσιον ἐφόβει, πάντας ἔβλεπεν ὡς ἀντεραστάς, οὐ
Dionysius frightened all he-looked-on as rivals not
τὸν ἀντίδικον μόνον, ἀλλ᾽ αὐτὸν τὸν δικαστήν, ὥστε καὶ
the opponent only but the-very — judge so-that even
μετενόει προπετέστερον Φαρνάκῃ ταῦτα μηνύσας,
he-regretted too-rashly to-Pharnaces these-things having-reported

ἐξὸν καθεύδειν τήν τ᾽ ἐρωμένην ἔχειν·
it-being-possible to-sleep the and beloved to-have

οὐ γὰρ ὅμοιον ἐν Μιλήτῳ φυλάττειν Καλλιρρόην καὶ ἐπὶ
not for alike in Miletus to-guard Callirhoe and in
τῆς Ἀσίας ὅλης.
— Asia whole

7.8 Διεφύλαττε δ᾽ ὅμως τὸ ἀπόρρητον μέχρι τέλους, καὶ τὴν
kept but still the secret to the-end and the
αἰτίαν οὐχ ὡμολόγει πρὸς τὴν γυναῖκα, ἀλλ᾽ ἡ πρόφασις ἦν
cause not he-admitted to the wife but the pretext was
ὅτι βασιλεὺς αὐτὸν μεταπέμπεται, βουλεύσασθαι θέλων περὶ
that the-king him summons to-consult wishing about

τῶν ἐν Ἰωνίᾳ πραγμάτων. Ἐλυπεῖτο δὲ Καλλιρρόη, μακρὰν
the in Ionia affairs was-grieved and Callirhoe far
στελλομένη θαλάσσης Ἑλληνικῆς· ἕως γὰρ τοὺς Μιλησίων
being-sent from-the-sea Greek while for the of-Milesians
λιμένας ἑώρα, Συρακουσῶν ἐδόκει ἐγγὺς τυγχάνειν· μέγα
harbors she-saw Syracuse she-seemed near to-be great
δὲ εἶχε παραμύθιον καὶ τὸν Χαιρέου τάφον ἐκεῖ.
and she-had consolation also the of-Chaereas tomb there

BOOK V

I · THE RIVAL BEAUTY

After a recap of the books before, the narrative resumes. At the Euphrates, Callirhoe mourns that she is leaving the Greek world and Chaereas' tomb behind. Mithridates reaches Babylon first and makes Chaereas, who weeps alone, promise to stay hidden until the trial. Dionysius dreads the city and keeps Callirhoe veiled. At Queen Stateira's word the Persian noblewomen set up Rhodogyne as their champion beauty, but when Callirhoe unveils, the crowd forgets her rival. The king sends word by his eunuch that he will hear the case on the thirtieth day, after his festival.

Ὡς μὲν ἐγαμήθη Καλλιρρόη Χαιρέᾳ, καλλίστη γυναικῶν 1.1
how indeed was-married Callirhoe to-Chaereas most-beautiful of-women
ἀνδρὶ καλλίστῳ, πολιτευσαμένης Ἀφροδίτης τὸν γάμον, καὶ
to-a-man most-handsome having-arranged Aphrodite the marriage and
ὡς δι' ἐρωτικὴν ζηλοτυπίαν Χαιρέου πλήξαντος αὐτὴν
how through lover's jealousy Chaereas having-struck her
ἔδοξε τεθνάναι, ταφεῖσαν δὲ πολυτελῶς εἶτα ἀνανήψασαν
she-seemed to-have-died buried and lavishly then having-revived
ἐν τῷ τάφῳ τυμβωρύχοι νυκτὸς ἐξήγαγον ἐκ Σικελίας,
in the tomb tomb-robbers by-night took-(her)-out from Sicily
πλεύσαντες δὲ εἰς Ἰωνίαν ἐπώλησαν Διονυσίῳ, καὶ τὸν
having-sailed and to Ionia sold-her to-Dionysius and the

ἔρωτα τὸν Διονυσίου καὶ τὴν Καλλιρρόης πρὸς Χαιρέαν
love the of-Dionysius and the of-Callirhoe toward Chaereas
πίστιν καὶ τὴν ἀνάγκην τοῦ γάμου διὰ τὴν γαστέρα
faithfulness and the compulsion of-the marriage because-of the pregnancy
καὶ τὴν Θήρωνος ὁμολογίαν καὶ Χαιρέου πλοῦν ἐπὶ ζήτησιν
and the of-Theron confession and of-Chaereas voyage in search
τῆς γυναικὸς ἅλωσίν τε αὐτοῦ καὶ πρᾶσιν εἰς Καρίαν μετὰ
of-the wife capture and his and sale into Caria with
Πολυχάρμου τοῦ φίλου, καὶ ὡς Μιθριδάτης ἐγνώρισε Χαιρέαν
Polycharmus the friend and how Mithridates recognized Chaereas
μέλλοντα ἀποθνήσκειν καὶ ὡς ἔσπευδεν ἀλλήλοις ἀποδοῦναι
about to-die and how he-hastened to-each-other to-restore
τοὺς ἐρῶντας, φωράσας δὲ τοῦτο Διονύσιος ἐξ ἐπιστολῶν·
the lovers having-detected and this Dionysius from letters
1.2 διέβαλεν αὐτὸν πρὸς Φαρνάκην, ἐκεῖνος δὲ πρὸς βασιλέα,
denounced him to Pharnaces he and to the-king
βασιλεὺς δὲ ἀμφοτέρους ἐκάλεσεν ἐπὶ τὴν κρίσιν, ταῦτα
the-king and both summoned to the trial these-things
ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται· τὰ δ' ἑξῆς νῦν
in the previous book have-been-told the-things and following now
διηγήσομαι.
I-will-relate
1.3 Καλλιρρόη μὲν γὰρ μέχρι Συρίας καὶ Κιλικίας κούφως
Callirhoe indeed for as-far-as Syria and Cilicia lightly
ἔφερε τὴν ἀποδημίαν· καὶ γὰρ Ἑλλάδος ἤκουε φωνῆς
bore the journey and for Greek she-heard speech
καὶ θάλατταν ἔβλεπε τὴν ἄγουσαν εἰς Συρακούσας· ὡς
and the-sea she-saw the-one leading to Syracuse when
δ' ἦκεν ἐπὶ ποταμὸν Εὐφράτην, μεθ' ὃν ἤπειρός ἐστι
but she-came to the-river Euphrates beyond which a-mainland is
μεγάλη ἀφετήριον εἰς τὴν βασιλέως γῆν τὴν πολλήν, τότε
great a-starting-point into the king's land the vast then

ἤδη πόθος αὐτὴν ὑπεδύετο πατρίδος τε καὶ συγγενῶν,
at-last longing her crept-into for-fatherland both and kin
ἀπογνώσει τῆς εἰς τοὔμπαλιν ὑποστροφῆς.
in-despair of-the to the-reverse return
Στᾶσα δὲ ἐπὶ τῆς ᾐόνος καὶ πάντας ἀναχωρῆσαι κελεύσασα 1.4
having-stood and on the bank and all to-withdraw having-ordered
πλὴν Πλαγγόνος τῆς μόνης πιστῆς, τοιούτων ἤρξατο
except Plangon the only faithful-one such she-began
λόγων "Τύχη βάσκανε καὶ μιᾶς γυναικὸς προσφιλονεικοῦσα
words Fortune envious and one woman battling-against
πολέμῳ, σύ με κατέκλεισας ἐν τάφῳ ζῶσαν, κἀκεῖθεν
in-war you me shut-up in a-tomb alive and-from-there
ἐξήγαγες οὐ δι' ἔλεον, ἀλλ' ἵνα λῃσταῖς με παραδῷς.
brought-out not out-of pity but so-that to-pirates me you-might-hand-over
Ἐμερίσαντό μου τὴν φυγὴν θάλασσα καὶ Θήρων· ἡ 1.5
shared my the exile sea and Theron the
Ἑρμοκράτους θυγάτηρ ἐπράθην καί, τὸ τῆς δουλείας
of-Hermocrates daughter was-sold and the than-the slavery
μοι βαρύτερον, ἐφιλήθην, ἵνα ζῶντος Χαιρέου ἄλλῳ
to-me heavier I-was-loved so-that living Chaereas to-another
γαμηθῶ. Σὺ δὲ καὶ τούτων ἤδη μοι φθονεῖς· οὐκέτι
I-might-be-married you but even these-things now to-me begrudge no-longer
γὰρ εἰς Ἰωνίαν με φυγαδεύεις. Ξένην μέν, πλὴν Ἑλληνικὴν
for to Ionia me you-banish foreign indeed but Greek
ἐδίδως γῆν, ὅπου μεγάλην εἶχον παραμυθίαν, ὅτι θαλάσσῃ
you-gave land where great I-had consolation that by-the-sea
παρεκαθήμην· νῦν δὲ ἔξω με τοῦ συνήθους ῥίπτεις ἀέρος
I-sat now but out-of me the familiar you-fling air
καὶ τῆς πατρίδος ὅλῳ διορίζομαι κόσμῳ.
and from-the fatherland by-a-whole I-am-separated world

1.6 Μίλητον ἀφείλου μου πάλιν, ὡς πρότερον Συρακούσας·
Miletus you-took-away from-me again as before Syracuse
ὑπὲρ τὸν Εὐφράτην ἀπάγομαι καὶ βαρβάροις ἐγκλείομαι
beyond the Euphrates I-am-led-away and in-barbarian I-am-shut-up
μυχοῖς ἡ νησιῶτις, ὅπου μηκέτι θάλασσα. Ποίαν ἔτ'
recesses the island-girl where no-longer sea what still
ἐλπίσω ναῦν ἐκ Σικελίας καταπλέουσαν; ἀποσπῶμαι
I-am-to-hope-for ship from Sicily sailing-in I-am-torn-away
καὶ τοῦ σοῦ τάφου, Χαιρέα.
even from-the your tomb Chaereas

1.7 Τίς ἐπενέγκῃ σοι χοάς, δαῖμον ἀγαθέ; Βάκτρα μοι
who is-to-bring to-you libations spirit good Bactra for-me
καὶ Σοῦσα λοιπὸν οἶκος καὶ τάφος. Ἅπαξ, Εὐφρᾶτα,
and Susa henceforth home and tomb once Euphrates
μέλλω σε διαβαίνειν· φοβοῦμαι γὰρ οὐχ οὕτως τὸ μῆκος
I-am-about you to-cross I-fear for not so-much the length
τῆς ἀποδημίας ὡς μὴ δόξω κἀκεῖ καλή τινι." Ταῦτα
of-the journey as lest I-seem there-too beautiful to-someone these-things
ἅμα λέγουσα τὴν γῆν κατεφίλησεν, εἶτα ἐπιβᾶσα
at-the-same-time saying the ground she-kissed then having-boarded
τῆς πορθμίδος διεπέρασεν.
the ferry crossed

1.8 Ἦν μὲν οὖν καὶ Διονυσίῳ χορηγία πολλή· πλουσιώτατα
there-was indeed then also for-Dionysius provision abundant most-richly
γὰρ ἐπεδείκνυτο τῇ γυναικὶ τὴν παρασκευήν· βασιλικωτέραν
for he-displayed to-the wife the equipage more-royal
δὲ τὴν ὁδοιπορίαν αὐτοῖς παρεσκεύασεν ἡ τῶν ἐπιχωρίων
but the journey for-them made the of-the locals
φιλοφρόνησις. Δῆμος παρέπεμπεν εἰς δῆμον, καὶ σατράπης
hospitality people escorted to people and satrap
παρεδίδου τῷ μεθ' αὑτόν, πάντας γὰρ ἐδημαγώγει τὸ
handed-over to-the-one after himself all for won-over the

κάλλος. Καὶ ἄλλη δέ τις ἐλπὶς ἔθαλπε τοὺς βαρβάρους,
beauty and another and some hope warmed the barbarians
ὅτι ἥδε ἡ γυνὴ μέγα δυνήσεται, καὶ διὰ τοῦτο ἕκαστος
that this the woman great will-have-power and for this each
ἔσπευδε ξένια διδόναι ἢ πάντως τινὰ χάριν εἰς αὐτὴν
hastened gifts to-give or by-all-means some favor with her
ἔχειν ἀποκειμένην.
to-have stored-up

Καὶ οἱ μὲν ἦσαν ἐν τούτοις· ὁ δὲ Μιθριδάτης δι' 2.1
and they indeed were in these-things — and Mithridates through
Ἀρμενίας ἐποιεῖτο τὴν πορείαν σφοδρότερον, μάλιστα
Armenia made the journey more-hastily most
μὲν δεδοικὼς μὴ καὶ τοῦτο αἴτιον αὐτῷ γένηται
indeed fearing lest also this a-charge against-him become
πρὸς βασιλέως, ὅτι κατ' ἴχνος ἐπηκολούθει τῇ γυναικί,
with the-king that in the-track he-followed the woman
ἅμα δὲ καὶ σπεύδων προεπιδημῆσαι καὶ συγκροτῆσαι
at-the-same-time and also hastening to-arrive-first and to-prepare
τὰ πρὸς τὴν δίκην.
the-things for the trial

Ἀφικόμενος οὖν εἰς Βαβυλῶνα (βασιλεὺς γὰρ αὐτόθι 2.2
having-arrived then at Babylon the-king for there
διέτριβεν) ἐκείνην μὲν τὴν ἡμέραν ἡσύχασε παρ' ἑαυτῷ·
was-staying that indeed the day he-rested at his-own-quarters
πάντες γὰρ οἱ σατράπαι σταθμοὺς ἔχουσιν ἀποδεδειγμένους·
all for the satraps lodgings have assigned
τῆς δὲ ὑστεραίας ἐπὶ θύρας ἐλθὼν τὰς βασιλέως,
on-the and next-day to the-doors having-come the king's
ἠσπάσατο μὲν Περσῶν τοὺς ὁμοτίμους, Ἀρταξάτην δὲ τὸν
he-greeted indeed of-Persians the peers Artaxates and the
εὐνοῦχον ὃς μέγιστος ἦν παρὰ βασιλεῖ καὶ δυνατώτατος
eunuch who greatest was with the-king and most-powerful

πρῶτον μὲν δώροις ἐτίμησεν, εἶτα "ἀπάγγειλον" εἶπε
first indeed with-gifts honored then announce he-said
"βασιλεῖ· Μιθριδάτης σὸς δοῦλος πάρεστιν ἀπολύσασθαι
to-the-king Mithridates your slave is-here to-clear-himself-of
διαβολὴν Ἕλληνος ἀνδρὸς καὶ προσκυνῆσαι."
a-slander of-a-Greek man and to-do-obeisance
2.3 Μετ' οὐ πολὺ δ' ἐξελθὼν ὁ εὐνοῦχος ἀπεκρίνατο
after not long and having-come-out the eunuch answered
ὅτι "ἐστὶ βασιλεῖ βουλομένῳ Μιθριδάτην μηδὲν ἀδικεῖν·
that it-is for-the-king wishing Mithridates in-nothing to-do-wrong
κρινεῖ δὲ ἐπειδὰν καὶ Διονύσιος παραγένηται."
he-will-judge but when also Dionysius arrives
Προσκυνήσας οὖν ὁ Μιθριδάτης ἀπηλλάττετο, μόνος
having-done-obeisance then — Mithridates withdrew alone
δὲ γενόμενος ἐκάλεσε Χαιρέαν καὶ ἔφη πρὸς αὐτὸν
and having-become he-called Chaereas and said to him
"ἐγὼ κρίνομαι καὶ ἀποδοῦναί σοι θελήσας Καλλιρρόην
I am-on-trial and to-restore to-you having-wished Callirhoe
ἐγκαλοῦμαι· τὴν γὰρ σὴν ἐπιστολήν, ἣν ἔγραψας πρὸς
I-am-accused the for your letter which you-wrote to
τὴν γυναῖκα, Διονύσιος ἐμέ φησι γεγραφέναι καὶ μοιχείας
the wife Dionysius me says to-have-written and of-adultery
ἀπόδειξιν ἔχειν ὑπολαμβάνει· πέπεισται γὰρ σὲ τεθνάναι,
proof to-have supposes he-is-convinced for you to-have-died
καὶ πεπείσθω μέχρι τῆς δίκης, ἵνα αἰφνίδιον ὀφθῇς.
and let-him-be-convinced until the trial so-that suddenly you-may-be-seen
2.4 Ταύτην ἀπαιτῶ σε τῆς εὐεργεσίας τὴν ἀνταμοιβήν·
this I-ask of-you for-the kindness the return
ἀπόκρυψον σεαυτόν· μήτε ἰδεῖν Καλλιρρόην μήτ' ἐξετάσαι
hide yourself neither to-see Callirhoe nor to-inquire
τι περὶ αὐτῆς καρτέρησον." Ἄκων μέν, ἀλλ' ἐπείθετο
anything about her endure unwilling indeed but obeyed

Χαιρέας καὶ λανθάνειν μὲν ἐπειρᾶτο, ἐλείβετο δὲ αὐτοῦ
Chaereas and to-hide-it indeed he-tried trickled but his
τὰ δάκρυα κατὰ τῶν παρειῶν· εἰπὼν δὲ "ποιήσω,
the tears down the cheeks having-said and I-will-do
δέσποτα, ἃ προστάττεις" ἀπῆλθεν εἰς τὸ δωμάτιον,
master what you-order he-went-off into the room
ἐν ᾧ κατήγετο μετὰ Πολυχάρμου τοῦ φίλου, καὶ
in which he-lodged with Polycharmus the friend and
ῥίψας ἑαυτὸν εἰς τοὔδαφος, περιρρηξάμενος τὸν χιτῶνα
having-flung himself to the-ground having-torn the tunic
ἀμφοτέραις χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
with-both hands having-taken dust sooty

χεύατο κὰκ κεφαλῆς, χάριεν δ' ᾔσχυνε πρόσωπον.
he-poured down-over head fair and disfigured face

Εἶτα ἔλεγε κλάων "ἐγγύς ἐσμεν, ὦ Καλλιρρόη, καὶ οὐχ
then said weeping near we-are O Callirhoe and not
ὁρῶμεν ἀλλήλους.
we-see each-other
Σὺ μὲν οὖν οὐδὲν ἀδικεῖς· οὐ γὰρ οἶδας ὅτι Χαιρέας ζῇ· 2.5
you indeed then in-nothing do-wrong not for you-know that Chaereas lives
πάντων δὲ ἀσεβέστατος ἐγώ, μὴ βλέπειν σε κεκελευσμένος,
of-all but most-impious I not to-see you ordered
καὶ ὁ δειλὸς καὶ φιλόζωος μέχρι τοσούτου φέρω
and the coward and life-loving to such-a-point I-bear
τυραννούμενος. Σοὶ δὲ εἴ τις τοῦτο προσέταξεν, οὐκ
being-tyrannized to-you but if someone this had-ordered not
ἂν ἔζησας."
— *you-would-have-lived*

2.6 Ἐκεῖνον μὲν οὖν παρεμυθεῖτο Πολύχαρμος, ἤδη δὲ
him indeed then consoled Polycharmus already and
καὶ Διονύσιος πλησίον ἐγένετο Βαβυλῶνος καὶ ἡ φήμη
also Dionysius near was Babylon and the rumor
προκατελάμβανε τὴν πόλιν, ἀπαγγέλλουσα πᾶσιν ὅτι
was-seizing-first the city announcing to-all that
παραγίνεται γυνή, κάλλος οὐκ ἀνθρώπινον ἀλλά τι
is-coming a-woman beauty not human but something
θεῖον, ὁποίαν ἐπὶ γῆς ἄλλην ἥλιος οὐχ ὁρᾷ· φύσει δέ
divine such-as on earth another the-sun not sees by-nature and
ἐστι τὸ βάρβαρον γυναιμανές, ὥστε πᾶσα οἰκία καὶ πᾶς
is the barbarian-race woman-mad so-that every house and every
στενωπὸς ἐπεπλήρωτο τῆς δόξης· διέβαινε δὲ ἡ φήμη
alley was-filled with-the fame passed and the rumor
μέχρις αὐτοῦ βασιλέως, ὥστε καὶ ἤρετο Ἀρταξάτην τὸν
up-to the-very king so-that even he-asked Artaxates the
εὐνοῦχον εἰ πάρεστιν ἡ Μιλησία.
eunuch whether is-here the Milesian-woman

2.7 Διονύσιον δὲ καὶ πάλαι μὲν ἐλύπει τὸ περιβόητον τῆς
Dionysius and also long-since indeed grieved the fame of-the
γυναικὸς (οὐ γὰρ εἶχεν ἀσφάλειαν), ἐπεὶ δὲ εἰς Βαβυλῶνα
wife not for it-held safety when but into Babylon
ἔμελλεν εἰσιέναι, τότ' ἤδη καὶ μᾶλλον ἐνεπίμπρατο,
he-was-about to-enter then now even more he-was-burning
στενάξας δὲ ἔφη πρὸς ἑαυτὸν "οὐκέτι ταῦτα Μίλητός
having-groaned and he-said to himself no-longer this Miletus
ἐστι, Διονύσιε, ἡ σὴ πόλις· κἀκεῖ δὲ τοὺς ἐπιβουλεύοντας
is Dionysius the your city there-too and those plotting
ἐφυλάττου.
you-were-on-guard-against

Τολμηρὲ καὶ τοῦ μέλλοντος ἀπροόρατε, εἰς Βαβυλῶνα 2.8
reckless-one and of-the future unforeseeing to Babylon
Καλλιρρόην ἄγεις, ὅπου Μιθριδᾶται τοσοῦτοι; Μενέλαος
Callirhoe you-bring where Mithridateses so-many Menelaus
ἐν τῇ σώφρονι Σπάρτῃ τὴν Ἑλένην οὐκ ἐτήρησεν, ἀλλὰ
in the chaste Sparta — Helen not guarded but
παρηυδοκίμησε καὶ βασιλέα βάρβαρος ποιμήν· πολλοὶ
outshone even a-king a-barbarian shepherd many
Πάριδες ἐν Πέρσαις. Οὐχ ὁρᾷς τοὺς κινδύνους, οὐ τὰ
Parises among Persians not you-see the dangers not the
προοίμια; πόλεις ἡμῖν ἀπαντῶσι καὶ θεραπεύουσι σατράπαι.
preludes cities us come-to-meet and court-(us) satraps
Σοβαρωτέρα γέγονεν ἤδη, καὶ οὔπω βασιλεὺς ἑώρακεν 2.9
more-haughty she-has-become already and not-yet the-king has-seen
αὐτήν. Μία τοίνυν σωτηρίας ἐλπὶς διακλέψαι τὴν
her one then of-safety hope to-steal-away the
γυναῖκα· φυλαχθήσεται γάρ, ἂν δυνηθῇ λαθεῖν.” Ταῦτα
wife she-will-be-guarded for if she-can to-escape-notice these-things
λογισάμενος ἵππου μὲν ἐπέβη, τὴν δὲ Καλλιρρόην εἴασεν
having-reckoned a-horse indeed he-mounted — but Callirhoe he-left
ἐπὶ τῆς ἁρμαμάξης καὶ συνεκάλυψε τὴν σκηνήν. Τάχα δ’
in the covered-carriage and closed-up the tent perhaps and
ἂν καὶ προυχώρησεν, ὅπερ ἤθελεν, εἰ μὴ συνέβη
— also it-would-have-gone-forward which-very he-wished if not had-happened
τι τοιοῦτον.
something such
Ἦκον παρὰ Στάτειραν, τὴν γυναῖκα τὴν βασιλέως τῶν 3.1
came to Stateira the wife the king’s of-the
ἐνδοξοτάτων Περσῶν αἱ γυναῖκες καί τις εἶπεν ἐξ αὐτῶν
most-distinguished Persians the wives and one said out-of them
“ὦ δέσποινα, γύναιον Ἑλληνικὸν ἐπιστρατεύεται ταῖς
O mistress a-little-woman Greek marches-against the

ἡμετέραις οἰκίαις, ὃ καὶ πάλαι μὲν πάντες ἐθαύμαζον
our households whom even long-ago indeed all admired
ἐπὶ τῷ κάλλει, κινδυνεύει δὲ ἐφ' ἡμῶν ἡ δόξα τῶν
for the beauty is-in-danger and in our-time the glory of-the
Περσίδων γυναικῶν καταλυθῆναι. Φέρ' οὖν σκεψώμεθα
Persian women to-be-overthrown come then let-us-consider
πῶς μὴ παρευδοκιμηθῶμεν ὑπὸ τῆς ξένης."
how not we-may-be-outshone by the foreigner

3.2 Ἐγέλασεν ἡ βασίλισσα ἀπιστοῦσα τῇ φήμῃ, ἅμα
laughed the queen disbelieving the rumor at-the-same-time
δὲ εἶπεν "ἀλαζόνες εἰσὶν Ἕλληνες καὶ πτωχοὶ καὶ
and said braggarts are Greeks and beggars and
διὰ τοῦτο καὶ τὰ μικρὰ θαυμάζουσι μεγάλως. Οὕτως
because-of this even the small-things admire greatly thus
φημίζουσι Καλλιρρόην καλὴν ὡς καὶ Διονύσιον πλούσιον.
they-report Callirhoe beautiful as also Dionysius rich
Μία τοίνυν ἐξ ἡμῶν, ἐπειδὰν εἰσίῃ, φανήτω μετ'
one then out-of us when she-enters let-her-appear with
αὐτῆς, ἵνα ἀποσβέσῃ τὴν πενιχράν τε καὶ δούλην."
her so-that she-may-extinguish the poor both and slave

3.3 Προσεκύνησαν πᾶσαι τὴν βασιλίδα καὶ τῆς γνώμης
did-obeisance all-the-women to-the queen and at-the plan
ἀπεθαύμασαν καὶ τὸ μὲν πρῶτον ὡς ἐξ ἑνὸς στόματος
marveled and — indeed at-first as out-of one mouth
ἀνεβόησαν "εἴθε δυνατὸν ἦν ὀφθῆναί σε, δέσποινα,"
they-cried-out would-that possible it-were to-be-seen you mistress
εἶτα διεσχίσθησαν αἱ γνῶμαι· καὶ τὰς ἐνδοξοτάτας
then were-divided the opinions and the most-distinguished
ὠνόμαζον ἐπὶ κάλλει.
they-named for beauty

Χειροτονία δὲ ἦν ὡς ἐν θεάτρῳ, καὶ προυκρίθη Ῥοδογύνη, 3.4
show-of-hands and there-was as in a-theater and was-preferred Rhodogyne
θυγάτηρ μὲν Ζωπύρου, γυνὴ δὲ Μεγαβύζου, μέγα τι χρῆμα
daughter indeed of-Zopyrus wife and of-Megabyzus great a thing
κάλλους καὶ περιβόητον, οἷον τῆς Ἰωνίας Καλλιρρόη,
of-beauty and famous as — of-Ionia Callirhoe
τοιοῦτο τῆς Ἀσίας ἡ Ῥοδογύνη. Λαβοῦσαι δὲ αὐτὴν αἱ
— Stateira did-obeisance and with haste went-off to
αὐτόν. Ὁ δὲ εὐνοῦχος ἰδὼν τὴν Καλλιρρόην μόνην
him the and eunuch having-seen — Callirhoe alone
ἀπολελειμμένην, ἐμβαλὼν τὴν δεξιάν, ὡς δή τις φιλέλλην
left-behind having-put-in the right-hand as indeed one Greek-loving
καὶ φιλάνθρωπος, ἀπήγαγε τοῦ πλήθους τῶν θεραπαινίδων.
and humane led-her-away from-the crowd of-the maids

7.6 Ἡ δὲ ἠπίστατο μὲν καὶ εὐθὺς ὠχρά τε ἦν καὶ ἄφωνος,
she and understood indeed and at-once pale both was and voiceless
ἠκολούθει δ' ὅμως. Ἐπεὶ δὲ κατέστησαν μόνοι, λέγει
she-followed but nevertheless when and they-stood alone he-says
πρὸς αὐτὴν "ἑώρακας τὴν βασιλίδα πῶς ἀκούσασα τὸ
to her you-have-seen the queen how having-heard the
βασιλέως ὄνομα προσεκύνησε καὶ τρέχουσα ἄπεισι· σὺ
king's name she-did-obeisance and running she-goes-off you
δέ, ἡ δούλη, τὴν εὐτυχίαν οὐ φέρεις, οὐδ' ἀγαπᾷς ὅτι
but the slave the good-fortune not bear nor are-content that
σε παρακαλεῖ κελεῦσαι δυνάμενος.
you he-invites to-order being-able

7.7 Ἀλλ' ἐγὼ (τιμῶ γάρ σε) πρὸς ἐκεῖνον οὐ κατηγόρευσα
but I I-honor for you to him not I-denounced
τὴν μανίαν τὴν σήν, τοὐναντίον δέ, ὑπεσχόμην ὑπὲρ
the madness — your on-the-contrary but I-made-promises on-behalf-of
σοῦ. Πάρεισιν οὖν σοι δύο ὁδοί. Ὁποτέραν βούλει
you there-are then for-you two roads whichever you-wish
τρέπεσθαι; μηνύσω δὲ ἀμφοτέρας· πεισθεῖσα μὲν βασιλεῖ
to-turn-to I-will-show and both having-obeyed indeed to-the-king
δῶρα λήψῃ τὰ κάλλιστα καὶ ἄνδρα, ὃν θέλεις· οὐ
gifts you-will-receive the most-beautiful and a-husband whom you-wish not
δήπου γάρ σε αὐτὸς μέλλει γαμεῖν ἀλλὰ πρὸς καιρὸν
surely for you he-himself is-going to-marry but for a-season
αὐτῷ χάριν δώσεις· ἢν δὲ μὴ πεισθῇς, ἀκούεις ἃ
to-him favor you-will-give if but not you-are-persuaded you-hear what
πάσχουσιν οἱ βασιλέως ἐχθροί, μόνοις γὰρ τούτοις οὐδὲ
suffer the king's enemies alone for to-these not-even
ἀποθανεῖν θέλουσιν ἔξεστι."
to-die wishing is-permitted

Κατεγέλασε Καλλιρρόη τῆς ἀπειλῆς καὶ ἔφη "οὐ νῦν πρῶτον 7.8
laughed Callirhoe at-the threat and said not now first
πείσομαί τι δεινόν· ἔμπειρός εἰμι τοῦ δυστυχεῖν. Τί με
I-shall-suffer anything terrible experienced I-am in-the misfortune what me
δύναται βασιλεὺς ὢν πέπονθα διαθεῖναι χαλεπώτερον;
can the-king than-what I-have-suffered to-treat harsher
ζῶσα κατεχώσθην· παντὸς δεσμωτηρίου τάφος ἐστὶ
living I-was-buried than-every prison a-tomb is
στενότερος. Λῃστῶν χερσὶ παρεδόθην. Ἄρτι τὸ
narrower of-pirates into-the-hands I-was-handed-over now the
μέγιστον τῶν κακῶν πάσχω· παρόντα Χαιρέαν οὐ βλέπω."
greatest of-the evils I-suffer being-present Chaereas not I-see
Τοῦτο τὸ ῥῆμα προύδωκεν αὐτήν· ὁ γὰρ εὐνοῦχος δεινὸς 7.9
this the word betrayed her the for eunuch clever
ὢν τὴν φύσιν ἐνόησεν ὅτι ἐρᾷ. "Ὦ" φησὶ "πασῶν
being in-his nature perceived that she-loves O he-says of-all
ἀνοητοτάτη γυναικῶν, βασιλέως τὸν Μιθριδάτου δοῦλον
most-foolish women than-the-king the of-Mithridates slave
προτιμᾷς;" Ἠγανάκτησε Καλλιρρόη Χαιρέου λοιδορηθέντος
do-you-prefer was-indignant Callirhoe Chaereas being-reviled
καὶ "εὐφήμησον" εἶπεν, "ἄνθρωπε. Χαιρέας εὐγενής ἐστι,
and hush she-said fellow Chaereas noble is
πόλεως πρῶτος, ἣν οὐκ ἐνίκησαν οὐδὲ Ἀθηναῖοι οἱ ἐν
of-a-city first which not conquered not-even Athenians the-ones at
Μαραθῶνι καὶ Σαλαμῖνι νικήσαντες τὸν μέγαν σου βασιλέα."
Marathon and Salamis having-conquered the great your king
Ταῦτα ἅμα λέγουσα δακρύων πηγὰς ἀφῆκεν· ὁ 7.10
these-things at-the-same-time saying of-tears springs she-let-loose the
δὲ εὐνοῦχος ἐπέθετο μᾶλλον καὶ "σεαυτῇ" φησὶ "τῆς
and eunuch pressed-on more and to-yourself he-says of-the
βραδυτῆτος αἰτία γίνῃ.
slowness the-cause you-become

7.11 Πῶς οὖν εὐμενῆ τὸν δικαστὴν ἕξεις; ἢ σχεῖν κάλλιον,
how then kindly the judge will-you-have or to-have better
ἵνα καὶ τὸν ἄνδρα κομίσῃ. Τάχα μὲν οὐδ' ἂν
so-that even the husband you-may-recover perhaps indeed not-even —
Χαιρέας γνοίη τὸ πραχθέν, ἀλλὰ καὶ γνοὺς οὐ
Chaereas would-learn the-thing done but even having-learned not
ζηλοτυπήσει τὸν κρείττονα· δόξει δέ σε τιμιωτέραν,
will-be-jealous-of the stronger he-will-think and you more-precious
ὡς ἀρέσασαν βασιλεῖ."
as having-pleased the-king

7.12 Τοῦτο δὲ προσέθηκεν οὐχὶ δι' ἐκείνην ἀλλὰ καὶ αὐτὸς
this and he-added not because-of her but also himself
οὕτω φρονῶν· καταπεπλήγασι γὰρ πάντες οἱ βάρβαροι καὶ
so thinking are-awestruck for all the barbarians and
θεὸν φανερὸν νομίζουσι βασιλέα. Καλλιρρόη δὲ καὶ αὐτοῦ
a-god manifest consider the-king Callirhoe but even of-himself
τοῦ Διὸς οὐκ ἂν ἠσπάσατο γάμους, οὐδὲ ἀθανασίαν
— Zeus not — would-have-welcomed a-marriage nor immortality
προυτίμησεν ἂν ἡμέρας μιᾶς τῆς μετὰ Χαιρέου.
would-have-preferred — over-day one the with Chaereas

7.13 Μηδὲν οὖν ἀνύσαι δυνάμενος ὁ εὐνοῦχος "δίδωμί σοι"
nothing then to-accomplish being-able the eunuch I-give you
φησίν, "ὦ γύναι, σκέψεως καιρόν. Σκέπτου δὲ μὴ
he-says O woman of-consideration a-time consider but not
περὶ σεαυτῆς μόνης, ἀλλὰ καὶ Χαιρέου κινδυνεύοντος
about yourself alone but also Chaereas being-in-danger
ἀπολέσθαι τὸν οἴκτιστον μόρον· οὐ γὰρ ἀνέξεται βασιλεὺς
to-perish the most-pitiable doom not for will-endure the-king
ἐν ἔρωτι παρευδοκιμούμενος." Κἀκεῖνος μὲν ἀπηλλάγη,
in love being-outshone and-he indeed departed
τὸ δὲ τελευταῖον τῆς ὁμιλίας ἥψατο Καλλιρρόης.
the but final-word of-the conversation touched Callirhoe

Πᾶσαν δὲ σκέψιν καὶ πᾶσαν ἐρωτικὴν ὁμιλίαν ταχέως 8.1
all and consideration and all erotic conversation quickly
μετέβαλεν ἡ τύχη, καινοτέρων εὑροῦσα πραγμάτων
changed — fortune newer having-found of-affairs
ὑπόθεσιν· βασιλεῖ γὰρ ἦκον ἀπαγγέλλοντες Αἴγυπτον
a-subject to-the-king for came-men announcing Egypt
ἀφεστάναι μετὰ μεγάλης παρασκευῆς.
to-have-revolted with great preparation
Τὸν μὲν γὰρ σατράπην τὸν βασιλικὸν τοὺς Αἰγυπτίους 8.2
the indeed for satrap the royal the Egyptians
ἀνῃρηκέναι, κεχειροτονηκέναι δὲ βασιλέα τῶν ἐπιχωρίων,
to-have-killed to-have-elected and a-king of-the natives
ἐκεῖνον δὲ ἐκ Μέμφεως ὁρμώμενον διαβεβηκέναι μὲν
him and from Memphis setting-out to-have-crossed indeed
Πηλούσιον, ἤδη δὲ Συρίαν καὶ Φοινίκην κατατρέχειν,
Pelusium already and Syria and Phoenicia to-overrun
ὡς μηκέτι τὰς πόλεις ἀντέχειν, ὥσπερ χειμάρρου τινὸς
so-that no-longer the cities hold-out as-if of-a-torrent some
ἢ πυρὸς αἰφνίδιον ἐπιρρυέντος αὐταῖς.
or a-fire suddenly flooding-in on-them
Πρὸς δὲ τὴν φήμην ἐταράχθη μὲν βασιλεύς, κατεπλάγησαν 8.3
at and the report was-troubled indeed the-king were-dismayed
δὲ Πέρσαι· κατήφεια δὲ πᾶσαν ἔσχε Βαβυλῶνα. Τότε
and Persians dejection and all seized Babylon then
καὶ τὸ ὄναρ βασιλέως λογοποιοὶ καὶ μάντεις ἔφασκον
even the dream of-the-king story-tellers and seers claimed
τὰ μέλλοντα προειρηκέναι· θυσίας γὰρ ἀπαιτοῦντας
the-things to-come to-have-foretold sacrifices for demanding
τοὺς θεοὺς κίνδυνον μὲν ἀλλὰ καὶ νίκην προσημαίνειν.
the gods danger indeed but also victory to-signify

8.4 Πάντα μὲν τὰ εἰωθότα συνέβαινε καί, ὅσα εἰκὸς ἐν
all indeed the-things accustomed happened and as-much-as likely in
ἀπροσδοκήτῳ πολέμῳ, καὶ ἐλέγετο καὶ ἐγίνετο· κίνησις
an-unexpected war both were-said and were-done a-commotion
γὰρ μεγάλη Ἀσίαν κατέλαβε. Συγκαλέσας οὖν βασιλεὺς
for great Asia seized having-called-together then the-king
ὁ Περσῶν τοὺς ὁμοτίμους καὶ ὅσοι παρῆσαν ἡγεμόνες
— of-Persians the peers and as-many-as were-present leaders
τῶν ἐθνῶν, μεθ' ὧν εἰώθει τὰ μεγάλα χρηματίζειν,
of-the nations with whom he-was-accustomed — great-matters to-transact
ἐβουλεύετο περὶ τῶν καθεστηκότων καὶ ἄλλος ἄλλο τι
he-deliberated about the present-state and one another thing
παρῄνει·
advised

8.5 πᾶσι δὲ ἤρεσκε τὸ σπεύδειν καὶ μηδεμίαν ἡμέραν, εἰ
all and pleased the hastening and not-one day if
δυνατόν, ἀναβάλλεσθαι δυοῖν ἕνεκεν· ἵνα καὶ τοὺς πολεμίους
possible to-put-off for-two reasons so-that both the enemies
ἐπίσχωσι τῆς πρὸς τὸ πλέον αὐξήσεως καὶ τοὺς φίλους
they-might-check from-the toward the more increase and the friends
εὐθυμοτέρους ποιήσωσι, δείξαντες αὐτοῖς ἐγγύθεν τὴν
more-cheerful might-make having-shown them from-close-by the
βοήθειαν· βραδυνόντων δὲ εἰς τοὐναντίον πάντα χωρήσειν·
help if-they-delayed and to the-opposite all to-be-going-to-go
τοὺς μὲν γὰρ πολεμίους καταφρονήσειν ὡς δεδιότων,
the indeed for enemies to-be-going-to-despise as afraid
τοὺς δὲ οἰκείους ἐνδώσειν ὡς ἀμελουμένους.
the and own-people to-be-going-to-give-way as neglected

8.6 Εὐτύχημα δὲ μέγιστον βασιλεῖ γεγονέναι τὸ μήτε
a-good-fortune and greatest for-the-king to-have-happened the neither
ἐν Βάκτροις, μήτε ἐν Ἐκβατάνοις, ἀλλ' ἐν Βαβυλῶνι
in Bactra nor in Ecbatana but in Babylon

κατειλῆφθαι, πλησίον τῆς Συρίας· ἐκβὰς γὰρ τὸν
to-have-been-caught near — Syria having-crossed for the
Εὐφράτην εὐθὺς ἐν χερσὶν ἕξει τοὺς ἀφεστῶτας.
Euphrates at-once in hand he-will-have the rebels
Ἔδοξεν οὖν τὴν μὲν ἤδη περὶ αὐτὸν δύναμιν ἐξάγειν,
it-seemed-best then the indeed already around him force to-lead-out
διαπέμψαι δὲ πανταχόσε κελεύοντας τὴν στρατιὰν ἐπὶ
to-send and in-all-directions men-ordering the army at
ποταμὸν Εὐφράτην ἀθροίζεσθαι. Ῥᾴστη δέ ἐστι Πέρσαις
the-river Euphrates to-gather easiest and is for-Persians
ἡ παρασκευὴ τῆς δυνάμεως.
the preparation of-the force
Συντέτακται γὰρ ὑπὸ Κύρου, τοῦ πρώτου Περσῶν 8.7
it-has-been-arranged for by Cyrus the first of-Persians
βασιλεύσαντος, ποῖα μὲν τῶν ἐθνῶν εἰς πόλεμον ἱππείαν
having-been-king which indeed of-the nations for war cavalry
καὶ πόσην τὸν ἀριθμὸν δεῖ παρέχειν, ποῖα δὲ πεζὴν
and how-much the number must to-provide which and infantry
στρατιὰν καὶ πόσην, τίνας δὲ τοξότας καὶ πόσα
army and how-much which and archers and how-many
ἑκάστους ἅρματα ψιλά τε καὶ δρεπανηφόρα καὶ ἐλέφαντας
for-each chariots light both and scythe-bearing and elephants
ὁπόθεν καὶ πόσους καὶ χρήματα παρ᾽ ὧντινων καὶ πόσα.
from-where and how-many and money from whom and how-much
Τοσούτῳ δὲ παρασκευάζεται χρόνῳ πάντα ὑπὸ πάντων,
in-so-much and is-prepared time all by all
ὅσῳ καὶ εἷς ἀνὴρ παρεσκεύασε.
as-much-as even one man has-prepared
Τῇ δὲ πέμπτῃ τῶν ἡμερῶν μετὰ τὴν ἀγγελίαν ἐξήλαυνε 9.1
on-the and fifth of-the days after the news rode-out
Βαβυλῶνος βασιλεύς, κοινῷ παραγγέλματι πάντων
from-Babylon the-king by-a-common order all

αὐτῷ συνακολουθούντων, ὅσοι τὴν στρατεύσιμον εἶχον
him following as-many-as the of-military-service had
ἡλικίαν. Ἐν δὲ τούτοις ἐξῆλθε καὶ Διονύσιος· Ἴων
age among and these went-out also Dionysius an-Ionian
γὰρ ἦν καὶ οὐδενὶ τῶν ὑπηκόων μένειν ἐξῆν.
for he-was and to-no-one of-the subjects to-remain was-permitted

9.2 Κοσμησάμενος δὲ ὅπλοις καλλίστοις καὶ ποιήσας στῖφος οὐκ
having-equipped-himself and with-arms most-beautiful and having-made a-troop not
εὐκαταφρόνητον ἐκ τῶν μεθ' ἑαυτοῦ, ἐν τοῖς πρώτοις καὶ
contemptible out-of those with himself among the first and
φανερωτάτοις κατέταξεν ἑαυτὸν καὶ δῆλος ἦν πράξων τι
most-conspicuous he-posted himself and evident was about-to-do something
γενναῖον, οἷα δὴ καὶ φύσει φιλότιμος ἀνὴρ καὶ οὐ πάρεργον
noble as indeed also by-nature an-ambitious man and not a-side-matter
τὴν ἀρετὴν τιθέμενος, ἀλλὰ τῶν καλλίστων ἀξιῶν.
— valor considering but the most-beautiful-things deeming

9.3 Τότε δὲ καὶ ἐλπίδος εἶχέ τι κούφης, ὅτι ἂν χρήσιμος
then and also of-hope he-had some light that if useful
ὢν ἐν τῷ πολέμῳ φανῇ, λήψεται παρὰ βασιλέως
being in the war he-should-appear he-will-receive from the-king
καὶ δίχα κρίσεως ἆθλον τῆς ἀριστείας τὴν γυναῖκα.
even without judgment as-prize of-the valor the wife

9.4 Καλλιρρόην δὲ ἡ μὲν βασιλὶς οὐκ ἤθελεν ἐπάγεσθαι·
Callirhoe but the indeed queen not wished to-bring-along
διὰ τοῦτο οὐδὲ ἐμνημόνευσεν αὐτῆς πρὸς βασιλέα, οὐδὲ
because-of this not-even she-mentioned her to the-king nor
ἐπύθετο τί κελεύει γενέσθαι περὶ τῆς ξένης· ἀλλὰ καὶ
inquired what he-orders to-be-done about the foreigner but also
Ἀρταξάτης κατεσιώπησεν, ὡς δῆτα μὴ θαρρῶν ἐν κινδύνῳ
Artaxates kept-silent as indeed not daring in danger
τοῦ δεσπότου καθεστηκότος παιδιᾶς ἐρωτικῆς μνημονεύειν,
the master standing erotic play to-mention

τὸ δὲ ἀληθὲς ἄσμενος ἀπηλλαγμένος καθάπερ ἀγρίου
the but truth gladly rid as-if of-a-wild
θηρίου· ἐδόκει δὲ μονονουχὶ χάριν ἔχειν τῷ πολέμῳ
beast he-seemed and all-but gratitude to-have to-the war
διακόψαντι τὴν βασιλέως ἐπιθυμίαν ὑπὸ ἀργίας τρεφομένην.
having-cut-short the king's desire by idleness being-nourished
Οὐ μὴν Καλλιρρόης ἐπελέληστο βασιλεύς, ἀλλὰ ἐν 9.5
not indeed Callirhoe had-forgotten the-king but in
ἐκείνῳ τῷ ἀδιηγήτῳ ταράχῳ μνήμη τις αὐτὸν εἰσῆλθε
that — indescribable turmoil a-memory some him entered
τοῦ κάλλους· ᾐδεῖτο δὲ εἰπεῖν τὸ περὶ αὐτῆς,
of-the beauty he-was-ashamed but to-speak the-thing about her
μὴ δόξῃ παιδαριώδης εἶναι παντάπασιν, ἐν πολέμῳ
lest he-should-seem childish to-be utterly in a-war
τηλικούτῳ γυναικὸς εὐμόρφου μνημονεύων. Βιαζομένης δὲ
so-great a-woman fair-shaped remembering pressing and
τῆς ὁρμῆς πρὸς μὲν Στάτειραν αὐτὴν οὐδὲν εἶπεν, ἀλλ'
the impulse to indeed Stateira herself nothing he-said but
οὐδὲ πρὸς τὸν εὐνοῦχον, ἐπειδὴ αὐτῷ συνῄδει
not-even to the eunuch since with-him he-shared-knowledge-of
τὸν ἔρωτα, ἐπενόησε δέ τι τοιοῦτον.
the love he-devised but something such
Ἔθος ἐστὶν αὐτῷ τε βασιλεῖ καὶ Περσῶν τοῖς ἀρίστοις, 9.6
a-custom is for-the-very both king and of-Persians the best
ὅταν εἰς πόλεμον ἐξίωσιν, ἐπάγεσθαι καὶ γυναῖκας καὶ
when to war they-go-out to-bring-along both wives and
τέκνα καὶ χρυσὸν καὶ ἄργυρον καὶ ἐσθῆτα καὶ εὐνούχους
children and gold and silver and clothing and eunuchs
καὶ παλλακίδας καὶ κύνας καὶ τραπέζας καὶ πλοῦτον
and concubines and dogs and tables and wealth
πολυτελῆ καὶ τρυφήν.
costly and luxury

9.7 Τὸν οὖν ἐπὶ τούτων διάκονον καλέσας ὁ βασιλεύς, πολλὰ
the then over these-things steward having-called the king many-things
πρῶτον εἰπὼν καὶ τἆλλα διατάξας ὡς ἕκαστον ἔδει
first having-said and the-rest having-arranged how each it-had
γενέσθαι, τελευταίας ἐμνημόνευσε Καλλιρρόης ἀξιοπίστῳ
to-be last he-mentioned Callirhoe with-a-credible
τῷ προσώπῳ, ὡς οὐδὲν αὐτῷ μέλον. "Κἀκεῖνο" φησὶ
— face as nothing to-him mattering and-that he-says
"τὸ γύναιον τὸ ξένον, περὶ οὗ τὴν κρίσιν ἀνεδεξάμην,
the little-woman the foreign about whom the judgment I-undertook
σὺν ταῖς ἄλλαις γυναιξὶν ἀκολουθείτω."
with the other women let-her-follow

9.8 Καὶ Καλλιρρόη μὲν οὕτως ἐξῆλθε Βαβυλῶνος οὐκ ἀηδῶς,
and Callirhoe indeed thus went-out from-Babylon not unpleasantly
ἤλπιζε γὰρ καὶ Χαιρέαν ἐξελεύσεσθαι· πολλὰ μὲν οὖν
she-hoped for also Chaereas to-be-going-to-go-out many indeed then
φέρειν καὶ πόλεμον ἄδηλα καὶ μεταβολὰς τοῖς
to-bring even war uncertain-things and changes for-those
δυστυχοῦσι βελτίονας, τάχα δὲ καὶ τὴν δίκην ἕξειν
being-unfortunate better perhaps and also the trial to-be-going-to-have
τέλος ἐκεῖ ταχείας εἰρήνης γενομένης.
an-end there a-speedy peace having-come-about

BOOK VII

I · CHAEREAS CHANGES SIDES

Chaereas finds the palace shut and Callirhoe gone. A man of Dionysius tells him that the king has given her to Dionysius. In despair, Chaereas and Polycharmus resolve to be revenged on the king, cross the lines, and offer themselves to the Egyptian. Tyre, on its sea-girt site, alone holds out against the rebel. When the Egyptian proposes retreat, Chaereas offers to take the city and chooses three hundred Greeks for the attempt.

Πάντων δὲ ἐξιόντων μετὰ βασιλέως ἐπὶ τὸν πόλεμον τὸν 1.1
all and going-out with the-king to the war the
πρὸς τοὺς Αἰγυπτίους Χαιρέᾳ παρήγγειλεν οὐδείς· βασιλέως
against the Egyptians to-Chaereas announced no-one of-the-king
γὰρ δοῦλος οὐκ ἦν, ἀλλὰ τότε μόνος ἐν Βαβυλῶνι
for slave not was but then alone in Babylon
ἐλεύθερος. Ἔχαιρε δὲ ἐλπίζων ὅτι Καλλιρρόη μενεῖ. Τῆς
free he-rejoiced and hoping that Callirhoe will-remain on-the
οὖν ὑστεραίας ἦλθεν ἐπὶ τὰ βασίλεια, ζητῶν τὴν γυναῖκα.
then next-day he-went to the palace seeking — his-wife
Κεκλεισμένα δὲ ἰδὼν καὶ πολλοὺς ἐπὶ θύραις τοὺς 1.2
shut and having-seen-it and many at the-doors those
φυλάσσοντας περιῄει τὴν πόλιν ὅλην ἐξερευνώμενος
guarding he-went-round the city whole searching
καὶ συνεχῶς καθάπερ ἐμμανὴς Πολυχάρμου τοῦ φίλου
and continually like a-madman of-Polycharmus the friend
πυνθανόμενος “Καλλιρρόη δὲ ποῦ; τί γέγονεν; οὐ
inquiring Callirhoe and where what has-become-of-her not
δήπου γὰρ καὶ αὐτὴ στρατεύεται.”
surely for even she-herself is-campaigning

1.3 Μὴ εὑρὼν δὲ Καλλιρρόην ἐζήτει Διονύσιον τὸν ἀντεραστὴν
not having-found and Callirhoe he-sought Dionysius the rival
καὶ ἦκεν ἐπὶ τὴν οἰκίαν τὴν ἐκείνου. Προῆλθεν οὖν τις
and came to the house the his came-forward then someone
ὥσπερ εὐκαίρως, καὶ εἶπεν ἅπερ ἦν δεδιδαγμένος. Θέλων
as-if opportunely and said what-very he-had been-taught wishing
γὰρ ὁ Διονύσιος ἀπελπίσαι Χαιρέαν τὸν Καλλιρρόης γάμον
for — Dionysius to-make-despair Chaereas the of-Callirhoe marriage
καὶ μηκέτι μένειν τὴν δίκην, ἐπενόησέ τι τοιοῦτον.
and no-longer to-wait-for the trial devised something such
1.4 Ἐξιὼν ἐπὶ τὴν μάχην κατέλιπε τὸν ἀπαγγελοῦντα πρὸς
going-out to the battle he-left-behind the one-to-announce to
Χαιρέαν ὅτι βασιλεὺς ὁ Περσῶν χρείαν ἔχων συμμάχων
Chaereas that the-king the of-Persians need having of-allies
πέπομφε Διονύσιον ἀθροῖσαι στρατιὰν ἐπὶ τὸν Αἰγύπτιον
has-sent Dionysius to-gather an-army against the Egyptian
καί, ἵνα πιστῶς αὐτῷ καὶ προθύμως ἐξυπηρετῆται,
and so-that faithfully for-him and zealously he-might-serve
Καλλιρρόην ἀπέδωκε. Ταῦτα ἀκούσας Χαιρέας ἐπίστευσεν
Callirhoe he-gave-back these-things having-heard Chaereas believed
εὐθύς· εὐεξαπάτητον γὰρ ἄνθρωπος δυστυχῶν.
at-once easily-deceived for a-man being-unfortunate
1.5 Καταρρηξάμενος οὖν τὴν ἐσθῆτα καὶ σπαράξας τὰς
having-rent then the clothing and having-torn the
τρίχας, τὸ στέρνον ἅμα παίων ἔλεγεν “ἄπιστε
hair the breast at-the-same-time striking he-said faithless
Βαβυλών, κακὴ ξενοδόκε, ἐπ᾽ ἐμοῦ δὲ καὶ ἐρήμη. Ὦ
Babylon evil host for me and even deserted O
καλοῦ δικαστοῦ· προαγωγὸς γέγονεν ἀλλοτρίας γυναικός.
fine judge a-procurer he-has-become of-another's wife
Ἐν πολέμῳ γάμοι. Κἀγὼ μὲν ἐμελέτων τὴν δίκην καὶ
in war weddings and-I indeed was-rehearsing the case and

πάνυ ἐπεπείσμην δίκαια ἐρεῖν· ἐρήμην δὲ κατεκρίθην
very was-persuaded just-things to-be-going-to-say by-default and I-was-condemned
καὶ Διονύσιος νενίκηκε σιγῶν.
and Dionysius has-won being-silent
Ἀλλ' οὐδὲν ὄφελος αὐτῷ τῆς νίκης· οὐ γὰρ ζήσεται 1.6
but no profit to-him of-the victory not for will-live
Καλλιρρόη παρόντος διαζευχθεῖσα Χαιρέου, καὶ τὸ πρῶτον
Callirhoe being-present parted-from Chaereas and the first-time
ἐξηπάτησεν αὐτὴν τὸ δοκεῖν ἐμὲ τεθνηκέναι. Τί οὖν ἐγὼ
deceived her the seeming me to-have-died why then I
βραδύνω καὶ οὐκ ἀποσφάζω πρὸ τῶν βασιλείων ἐμαυτόν,
am-slow and not slaughter before the palace myself
προσχέας τὸ αἷμα ταῖς θύραις τοῦ δικαστοῦ; γνώτωσαν
having-poured-out the blood on-the doors of-the judge let-know
Πέρσαι καὶ Μῆδοι, πῶς βασιλεὺς ἐδίκασεν ἐνταῦθα."
Persians and Medes how the-king judged here
Πολύχαρμος δὲ ἰδὼν ἀπαρηγόρητον ἑαυτῷ τὴν 1.7
Polycharmus and having-seen inconsolable to-himself the
συμφορὰν καὶ ἀδύνατον σωθῆναι Χαιρέαν "πάλαι μὲν"
misfortune and impossible to-be-saved Chaereas long-ago indeed
ἔφη "παρεμυθούμην σε, φίλτατε, καὶ πολλάκις ἀποθανεῖν
he-said I-consoled you dearest and often from-dying
ἐκώλυσα, νῦν δέ μοι δοκεῖς καλῶς βεβουλεῦσθαι· καὶ
I-prevented-you now but to-me you-seem well to-have-deliberated and
τοσοῦτον ἀποδέω τοῦ σε κωλύειν, ὥστε καὶ αὐτὸς ἤδη
so-far I-am-from — you to-prevent that even myself already
συναποθανεῖν ἕτοιμος. Σκεψώμεθα δὲ θανάτου τρόπον,
to-die-with-you ready let-us-consider but of-death a-manner
ὅστις ἂν γένοιτο βελτίων· ὃν γὰρ σὺ διανοῇ, φέρει
whatever — might-be better the-one-which for you intend brings

μέν τινα φθόνον βασιλεῖ καὶ πρὸς τὸ μέλλον αἰσχύνην,
indeed some ill-will to-the-king and for the future shame
οὐ μεγάλην δὲ ἐκδικίαν ὧν πεπόνθαμεν.
not great but requital of-what we-have-suffered

1.8 Δοκεῖ δέ μοι τὸν ἅπαξ ὑφ' ἡμῶν ὡρισμένον θάνατον
it-seems and to-me the once by us determined death
εἰς ἄμυναν καταχρήσασθαι τοῦ τυράννου· καλὸν γὰρ
for vengeance to-use-up on-the tyrant fine for
λυπήσαντας αὐτὸν ἔργῳ ποιῆσαι μετανοεῖν, ἔνδοξον καὶ
having-pained him in-deed to-make to-repent glorious and
τοῖς ὕστερον ἐσομένοις διήγημα καταλείποντας ὅτι δύο
to-those later going-to-be a-story leaving that two
Ἕλληνες ἀδικηθέντες ἀντελύπησαν τὸν μέγαν βασιλέα
Greeks having-been-wronged pained-in-return the great king
καὶ ἀπέθανον ὡς ἄνδρες."
and died like men

1.9 "Πῶς οὖν" εἶπε Χαιρέας "ἡμεῖς οἱ μόνοι καὶ πένητες καὶ
how then said Chaereas we the alone and poor and
ξένοι τὸν κύριον τηλικούτων καὶ τοσούτων ἐθνῶν καὶ
foreigners the lord of-so-great and so-many nations and
δύναμιν ἔχοντα, ὅσην ἑωράκαμεν, λυπῆσαι δυνάμεθα;
power having as-much-as we-have-seen to-pain can-we
τοῦ μὲν γὰρ σώματος αὐτῷ φυλακαὶ καὶ προφυλακαί,
of-the indeed for body to-him guards and outposts
κἂν ἀποκτείνωμεν δέ τινα τῶν ἐκείνου, κἂν ἐμπρήσωμέν
even-if we-kill and any of-the his even-if we-burn
τι τῶν ἐκείνου κτημάτων, οὐκ αἰσθήσεται τῆς βλάβης."
something of-the his possessions not he-will-perceive the damage

1.10 "Ὀρθῶς ἂν" ἔφη Πολύχαρμος "ταῦτα ἔλεγες, εἰ μὴ
rightly — said Polycharmus these-things you-would-say if not
πόλεμος ἦν· νῦν δὲ ἀκούομεν Αἴγυπτον μὲν ἀφεστάναι,
war there-were now but we-hear Egypt indeed to-have-revolted

Φοινίκην δὲ ἑαλωκέναι, Συρίαν δὲ κατατρέχεσθαι.
Phoenicia and to-have-been-taken Syria and to-be-overrun
Βασιλεῖ δὲ ὁ πόλεμος ἀπαντήσει καὶ πρὸ τοῦ διαβῆναι
the-king and the war will-meet even before — crossing
τὸν Εὐφράτην.
the Euphrates
Οὐκ ἐσμὲν οὖν οἱ δύο μόνοι, τοσούτους δὲ ἔχομεν 1.11
not we-are then the two alone so-many but we-have
συμμάχους, ὅσους ὁ Αἰγύπτιος ἄγει, τοσαῦτα ὅπλα,
allies as-many-as the Egyptian leads so-many arms
τοσαῦτα χρήματα, τοσαύτας τριήρεις. Χρησώμεθα ἀλλοτρίᾳ
so-much money so-many triremes let-us-use another's
δυνάμει πρὸς τὴν ὑπὲρ ἑαυτῶν ἄμυναν." Οὔπω πᾶν
force for the on-behalf-of ourselves vengeance not-yet all
εἴρητο ἔπος καὶ Χαιρέας ἀνεβόησε "σπεύδωμεν, ἀπίωμεν.
had-been-said the-word and Chaereas cried-out let-us-hurry let-us-go-off
Δίκας ἐν τῷ πολέμῳ λήψομαι παρὰ τοῦ δικαστοῦ."
justice in the war I-will-get from the judge
Ταχέως τοίνυν ὁρμήσαντες ἐδίωκον βασιλέα, προσποιούμενοι 2.1
quickly then having-set-out they-pursued the-king pretending
ἐθέλειν ἐκείνῳ συστρατεύεσθαι· διὰ γὰρ ταύτης τῆς
to-wish with-him to-campaign through for this —
προφάσεως ἤλπιζον ἀδεῶς διαβήσεσθαι τὸν Εὐφράτην.
pretext they-hoped without-fear to-be-going-to-cross the Euphrates
Κατέλαβον δὲ τὴν στρατιὰν ἐπὶ τῷ ποταμῷ καὶ
they-overtook and the army at the river and
προσμίξαντες τοῖς ὀπισθοφύλαξιν ἠκολούθουν.
having-joined the rearguard they-followed
Ἐπεὶ δὲ ἦκον εἰς Συρίαν, ηὐτομόλησαν πρὸς τὸν 2.2
when and they-came to Syria they-deserted to the
Αἰγύπτιον, λαβόντες δὲ αὐτοὺς οἱ φύλακες ἐξήταζον τίνες
Egyptian having-taken and them the guards examined who

εἶεν· σχῆμα γὰρ πρεσβευτῶν οὐκ ἔχοντες ὑπωπτεύοντο
they-might-be the-look for of-envoys not having they-were-suspected
κατάσκοποι μᾶλλον. Ἔνθα καὶ παρεκινδύνευσαν, εἰ μὴ
spies rather there even they-ran-a-risk if not
εἷς γέ τις Ἕλλην ἐκεῖ κατὰ τύχην εὑρεθεὶς συνῆκε
one — — Greek there by chance found had-understood
τῆς φωνῆς· ἠξίουν δὲ ἄγεσθαι πρὸς βασιλέα, ὡς μέγα
their speech they-asked and to-be-led to the-king as great
ὄφελος αὐτῷ κομίζοντες.
benefit to-him bringing

2.3 Ἐπεὶ δὲ ἤχθησαν, Χαιρέας εἶπεν "ἡμεῖς Ἕλληνες ἐσμὲν
when and they-were-brought Chaereas said we Greeks are
Συρακούσιοι τῶν εὐπατριδῶν. Οὗτος μὲν οὖν εἰς Βαβυλῶνα
Syracusans of-the nobles this-man indeed then to Babylon
φίλος ἐμὸς ὢν ἦλθε δι' ἐμέ, ἐγὼ δὲ διὰ τὴν γυναῖκα,
friend mine being came because-of me I and because-of the wife
τὴν Ἑρμοκράτους θυγατέρα, εἴ τινα Ἑρμοκράτην ἀκούεις
the of-Hermocrates daughter if any Hermocrates you-hear-of
στρατηγὸν Ἀθηναίους καταναυμαχήσαντα." Ἐπένευσεν ὁ
a-general Athenians having-defeated-at-sea nodded the
Αἰγύπτιος, οὐδὲν γὰρ ἔθνος ἄπυστον ἦν τῆς Ἀθηναίων
Egyptian no for nation uninformed was of-the of-Athenians
δυστυχίας, ἣν ἐδυστύχησαν ἐν τῷ πολέμῳ τῷ Σικελικῷ.
misfortune which they-suffered in the war the Sicilian

2.4 "Τετυράννηκε δὲ ἡμῶν Ἀρταξέρξης," καὶ πάντα διηγήσατο.
has-tyrannized and over-us Artaxerxes and everything he-told
"Φέροντες οὖν ἑαυτοὺς δίδομέν σοι φίλους πιστούς,
bringing then ourselves we-give to-you as-friends faithful
δύο τὰ προτρεπτικώτατα εἰς ἀνδρείαν ἔχοντες, θανάτου

καὶ ἀμύνης ἔρωτα· ἤδη γὰρ ἐτεθνήκειν ὅσον ἐπὶ ταῖς
and vengeance love already for I-had-died as-far-as on the
συμφοραῖς, λοιπὸν δὲ ζῶ εἰς μόνον τὸ λυπῆσαι τὸν ἐχθρόν.
misfortunes henceforth but I-live for only — paining the enemy

Μὴ μὰν ἀσπουδεί γε καὶ ἀκλειῶς ἀπολοίμην,
not indeed without-a-struggle at-least and ingloriously may-I-perish
ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι."
but great having-done something even for-those-to-come to-hear-of

Ταῦτα ἀκούσας ὁ Αἰγύπτιος ἥσθη καὶ τὴν δεξιὰν 2.5
these-things having-heard the Egyptian was-pleased and the right-hand
ἐμβαλὼν "εἰς καιρὸν ἥκεις" φησίν, "ὦ νεανία, σεαυτῷ
having-put-in in season you-have-come he-says O young-man for-yourself
τε κἀμοί." Παραυτίκα μὲν οὖν αὐτοῖς ἐκέλευσεν ὅπλα
both and-for-me for-the-moment indeed then to-them he-ordered arms
δοθῆναι καὶ σκηνήν, μετ' οὐ πολὺ δὲ καὶ ὁμοτράπεζον
to-be-given and a-tent after not long and also table-companion
ἐποιήσατο Χαιρέαν, εἶτα καὶ σύμβουλον· ἐπεδείκνυτο γὰρ
he-made Chaereas then also counselor he-displayed for
φρόνησίν τε καὶ θάρσος, μετὰ τούτων δὲ καὶ πίστιν, οἷα
intelligence both and courage with these and also faithfulness as
δὴ καὶ φύσεως ἀγαθῆς καὶ παιδείας οὐκ ἀπρονόητος.
indeed both of-nature good and of-education not unprovided
Ἐπήγειρε δὲ μᾶλλον αὐτὸν καὶ διαπρεπέστερον ἐποίησεν 2.6
roused and more him and more-distinguished made
ἡ πρὸς βασιλέα φιλονεικία καὶ τὸ δεῖξαι θέλειν ὅτι οὐκ
the toward the-king rivalry and the to-show wishing that not
ἦν εὐκαταφρόνητος, ἀλλ' ἄξιος τιμῆς. Εὐθὺς οὖν ἔργον
he-was contemptible but worthy of-honor at-once then a-deed
ἐπεδείξατο μέγα. Τῷ μὲν Αἰγυπτίῳ τὰ μὲν ἄλλα
he-displayed great for-the indeed Egyptian the indeed other-things

προυκεχωρήκει ῥᾳδίως καὶ κύριος ἐγεγόνει τῆς Κοίλης
had-advanced easily and master he-had-become of-the Hollow
Συρίας ἐξ ἐπιδρομῆς, ὑποχείριος δὲ ἦν αὐτῷ καὶ Φοινίκη
Syria by an-inroad subject and was to-him also Phoenicia
πλὴν Τύρου.
except Tyre

2.7 Τύριοι δὲ φύσει γένος εἰσὶ μαχιμώτατον καὶ κλέος ἐπ᾽
Tyrians and by-nature a-race are most-warlike and fame for
ἀνδρείᾳ θέλουσι κεκτῆσθαι, μὴ δόξωσι καταισχύνειν τὸν
courage they-wish to-possess lest they-seem to-shame —
Ἡρακλέα, φανερώτατον θεὸν παρ᾽ αὐτοῖς καὶ ᾧ μόνῳ
Heracles most-manifest god among them and to-whom alone
σχεδὸν ἀνατεθείκασι τὴν πόλιν. Θαρροῦσι δὲ καὶ τῇ
almost they-have-dedicated the city they-trust and also in-the
ὀχυρότητι τῆς οἰκήσεως.
strength of-the dwelling-place

2.8 Ἡ μὲν γὰρ πόλις ἐν θαλάσσῃ κατῴκισται, λεπτὴ δὲ εἴσοδος
the indeed for city in the-sea is-settled narrow and an-entrance
αὐτὴν συνάπτουσα τῇ γῇ κωλύει τὸ μὴ νῆσον εἶναι· ἔοικε
it joining to-the land prevents the not an-island to-be it-resembles
δὲ νηὶ καθωρμισμένῃ καὶ ἐπὶ γῆς τεθεικυίᾳ τὴν ἐπιβάθραν.
and a-ship moored and on land having-put the gangway

2.9 Πανταχόθεν οὖν αὐτοῖς τὸν πόλεμον ἀποκλεῖσαι ῥᾴδιον·
from-all-sides then for-them the war to-shut-out easy
τὴν μὲν πεζὴν στρατιὰν ἐκ τῆς θαλάττης, ἀρκούσης
the indeed infantry army from the sea sufficing
αὐτῇ πύλης μιᾶς, τὸν δὲ ἐπίπλουν τῶν τριηρῶν τείχεσιν,
for-it gate one the and attack of-the triremes by-walls
ὀχυρῶς ᾠκοδομημένης τῆς πόλεως καὶ λιμέσι κλειομένης
strongly built the city and by-harbors closed
ὥσπερ οἰκίας.
as a-house

Πάντων οὖν τῶν πέριξ ἑαλωκότων μόνοι Τύριοι τῶν 3.1
all then of-the-places around having-been-taken only Tyrians the
Αἰγυπτίων κατεφρόνουν, τὴν εὔνοιαν καὶ πίστιν τῷ
Egyptians despised the goodwill and faithfulness to-the
Πέρσῃ φυλάττοντες. Ἐπὶ τούτῳ δυσχεραίνων ὁ Αἰγύπτιος
Persian keeping at this vexed the Egyptian
συνήγαγε βουλήν. Τότε πρῶτον Χαιρέαν παρεκάλεσεν εἰς
gathered a-council then first Chaereas he-invited to
τὸ συμβούλιον καὶ ἔλεξεν ὧδε "Ἄνδρες σύμμαχοι, δούλους
the council and spoke thus men allies slaves
γὰρ οὐκ ἂν εἴποιμι τοὺς φίλους, ὁρᾶτε τὴν ἀπορίαν
for not — I-would-call the friends you-see the difficulty
ὅτι ὥσπερ ναῦς ἐπὶ πολὺ εὐπλοήσασα ἐναντίῳ ἀνέμῳ
that as-if a-ship for long having-sailed-well by-a-contrary wind
λαμβανόμεθα καὶ Τύρος ἡ παγχάλεπος κατέχει σπεύδοντας
we-are-caught and Tyre the most-difficult holds-back hastening
ἡμᾶς· ἐπείγεται δὲ καὶ βασιλεύς, ὡς πυνθανόμεθα.
us presses-on and also the-king as we-learn
Τί οὖν χρὴ πράττειν; οὔτε γὰρ ἑλεῖν Τύρον ἔνεστιν, 3.2
what then must (we)-to-do neither for to-take Tyre is-possible
οὔτε ὑπερβῆναι, καθάπερ δὲ τεῖχος ἐν μέσῳ κειμένη
nor to-pass-over as-if and a-wall in the-middle lying
τὴν Ἀσίαν ἡμῖν πᾶσαν ἀποκλείει. Δοκεῖ δέ μοι τὴν
— Asia from-us all it-shuts-off it-seems and to-me the
ταχίστην ἐντεῦθεν ἀπιέναι, πρὶν ἢ τὴν Περσῶν δύναμιν
quickest-way from-here to-go-away before — the of-Persians force
τοῖς Τυρίοις προσγενέσθαι.
to-the Tyrians to-be-added
Κίνδυνος δὲ καταληφθεῖσιν ἡμῖν ἐν τῇ πολεμίᾳ. Τὸ δὲ 3.3
danger and if-overtaken for-us in the enemy-land the but
Πηλούσιον ὀχυρόν, ἔνθα οὔτε Τυρίους οὔτε Μήδους οὔτε
Pelusium strong where neither Tyrians nor Medes nor

πάντας ἀνθρώπους ἐπιόντας δεδοίκαμεν· ψάμμος τε γὰρ
all men attacking we-fear sand both for
ἀδιόδευτος καὶ εἴσοδος ὀλίγη καὶ θάλασσα ἡμετέρα καὶ
impassable and entrance small and sea ours and
Νεῖλος Αἰγυπτίους φιλῶν." Ταῦτα εἰπόντος λίαν εὐλαβῶς
the-Nile Egyptians loving these-things as-he-spoke very cautiously
σιωπὴ πάντων ἐγένετο καὶ κατήφεια· μόνος δὲ Χαιρέας
silence of-all came-about and dejection alone but Chaereas
ἐτόλμησεν εἰπεῖν "Ὦ βασιλεῦ, σὺ γὰρ ἀληθῶς βασιλεύς,
dared to-speak O king you for truly king
οὐχ ὁ Πέρσης, ὁ κάκιστος ἀνθρώπων· λελύπηκάς με
not the Persian the worst of-men you-have-pained me
σκεπτόμενος περὶ φυγῆς ἐν ἐπινικίοις· νικῶμεν γάρ,
considering about flight in victory-celebrations we-are-winning for
ἂν θεοὶ θέλωσι, καὶ οὐ μόνον Τύρον ἕξομεν, ἀλλὰ καὶ
if gods wish and not only Tyre we-will-have but also
Βαβυλῶνα.
Babylon

3.4 Πολλὰ δὲ ἐν πολέμῳ τὰ ἐμπόδια γίνεται, πρὸς ἃ δεῖ
many and in war — obstacles arise in-face-of which one-must
μὴ παντάπασιν ἀποκνεῖν, ἀλλ' ἐγχειρεῖν προβαλλομένους
not altogether to-shrink but to-attempt putting-forward
ἀεὶ τὴν ἀγαθὴν ἐλπίδα.
always the good hope

3.5 Τούτους δὲ ἐγώ σοι τοὺς Τυρίους, τοὺς νῦν καταγελῶντας,
these and I to-you the Tyrians the-ones now laughing
γυμνοὺς ἐν πέδαις παραστήσω. Εἰ δὲ ἀπιστεῖς, ἐμὲ
naked in fetters will-set-before-you if and you-disbelieve me
προθυσάμενος ἀπέρχου· ζῶν γὰρ οὐ κοινωνήσω φυγῆς.
having-sacrificed-first go-away living for not I-will-share flight
Ἂν δὲ καὶ πάντως θέλῃς, ὀλίγους ἐμοὶ κατάλιπε
if and even by-all-means you-wish few to-me leave

τοὺς ἑκουσίως μενοῦντας· νῶϊ δ' ἐγὼ Πολύχαρμός τε
those willingly going-to-remain we-two and I Polycharmus and
μαχησόμεθα· σὺν γὰρ θεῷ εἰλήλουθμεν."
will-fight with for god we-have-come
Ἠδέσθησαν πάντες μὴ συγκαταθέσθαι τῇ Χαιρέου γνώμῃ· 3.6
were-ashamed all not to-assent to-the of-Chaereas opinion
βασιλεὺς δὲ θαυμάσας αὐτοῦ τὸ φρόνημα συνεχώρησεν
the-king and having-admired his — spirit allowed
ὁπόσον βούλεται τῆς στρατιᾶς ἐπίλεκτον λαβεῖν. Ὁ
as-much-as he-wishes of-the army picked to-take he
δὲ οὐκ εὐθὺς εἵλετο, ἀλλὰ καταμίξας ἑαυτὸν εἰς τὸ
and not at-once chose but having-mingled himself into the
στρατόπεδον καὶ Πολύχαρμον κελεύσας τὸ αὐτὸ πρῶτον
camp and Polycharmus having-ordered the same first
ἀνηρεύνα εἴ τινες εἶεν Ἕλληνες ἐν τῷ στρατοπέδῳ.
searched-out whether any there-were Greeks in the camp
Πλείονες μὲν οὖν ηὑρέθησαν οἱ μισθοφοροῦντες, ἐξελέξατο 3.7
more indeed then were-found the mercenaries he-selected
δὲ Λακεδαιμονίους καὶ Κορινθίους καὶ τοὺς ἄλλους
and Lacedaemonians and Corinthians and the other
Πελοποννησίους· εὗρε δὲ καὶ ὡς εἴκοσι Σικελιώτας.
Peloponnesians he-found and also about twenty Siceliotes
Ποιήσας οὖν τριακοσίους τὸν ἀριθμὸν ἔλεξεν ὧδε " Ἄνδρες
having-made then three-hundred — in-number he-spoke thus men
Ἕλληνες, ἐμοὶ βασιλέως ἐξουσίαν παρασχόντος ἐπιλέξασθαι
Greeks to-me the-king power having-granted to-choose
τῆς στρατιᾶς τοὺς ἀρίστους, εἱλόμην ὑμᾶς· καὶ γὰρ αὐτὸς
of-the army the best I-chose you and for myself
Ἕλλην εἰμί, Συρακούσιος, γένος Δωριεύς.
a-Greek I-am a-Syracusan by-race Dorian

3.8 Δεῖ δὲ ὑμᾶς μὴ μόνον εὐγενείᾳ τῶν ἄλλων ἀλλὰ
it-is-needful and you not only in-noble-birth than-the others but
καὶ ἀρετῇ διαφέρειν.
also in-valor to-excel

3.9 Μηδεὶς οὖν καταπλαγῇ τὴν πρᾶξιν, ἐφ' ἣν ὑμᾶς
no-one then let-be-dismayed-at the deed to which you
παρακαλῶ, καὶ γὰρ δυνατὴν εὑρήσομεν καὶ ῥᾳδίαν,
I-summon and for possible we-will-find-it and easy
δόξῃ μᾶλλον ἢ πείρᾳ δύσκολον. Ἕλληνες ἐν
in-appearance rather than in-trial difficult Greeks at
Θερμοπύλαις τοσοῦτοι Ξέρξην ὑπέστησαν. Τύριοι δὲ οὐκ
Thermopylae so-many Xerxes withstood Tyrians and not
εἰσὶ πεντακόσιαι μυριάδες, ἀλλὰ ὀλίγοι καὶ καταφρονήσει
are five-hundred myriads but few and in-contempt
μετ' ἀλαζονείας, οὐ φρονήματι μετ' εὐβουλίας χρώμενοι.
with boastfulness not in-spirit with good-counsel employing

3.10 Γνώτωσαν οὖν πόσον Ἕλληνες Φοινίκων διαφέρουσιν.
let-them-know then how-much Greeks than-Phoenicians excel
Ἐγὼ δὲ οὐκ ἐπιθυμῶ στρατηγίας, ἀλλ' ἕτοιμος ἀκολουθεῖν
I but not desire generalship but ready to-follow
ὅστις ἂν ὑμῶν ἄρχειν θέλῃ· πειθόμενον γὰρ εὑρήσει,
whoever — of-you to-lead wishes obeying for he-will-find-me
ἐπεὶ καὶ δόξης οὐκ ἐμῆς ἀλλὰ κοινῆς ὀρέγομαι." Πάντες
since even glory not my but common I-reach-for all
ἐπεβόησαν "σὺ στρατήγει βουλομένων." Ἔφη "Στρατηγῶ
shouted you be-general we-wishing he-said I-am-general
καὶ τὴν ἀρχήν μοι ὑμεῖς δεδώκατε· διὰ τοῦτο
and the command to-me you have-given because-of this
πειράσομαι πάντα πράττειν, ὥστε ὑμᾶς μὴ μετανοεῖν τὴν
I-will-try everything to-do so-that you not to-repent-of the
πρὸς ἐμὲ εὔνοιάν τε καὶ πίστιν ᾑρημένους.
toward me goodwill both and faithfulness having-chosen

Ἀλλ᾽ ἔν τε τῷ παρόντι σὺν θεοῖς ἔνδοξοι καὶ περίβλεπτοι 3.11
but in both the present with gods'-help glorious and admired
γενήσεσθε καὶ πλουσιώτατοι τῶν συμμάχων, εἴς τε τὸ
you-will-become and richest of-the allies into and the
μέλλον ὄνομα καταλείψετε τῆς ἀρετῆς ἀθάνατον καὶ
future a-name you-will-leave — of-valor immortal and
πάντες ὡς τοὺς μετὰ Ὀθρυάδου τριακοσίους ἢ τοὺς μετὰ
all as those with Othryades three-hundred or those with
Λεωνίδου, οὕτως καὶ τοὺς μετὰ Χαιρέου ἀνευφημήσουσιν.᾽᾽
Leonidas so also those with Chaereas they-will-acclaim
Ἔτι λέγοντος πάντες ἀνέκραγον ᾽᾽ἡγοῦ,᾽᾽ καὶ πάντες
still as-he-spoke all cried-out lead and all
ὥρμησαν ἐπὶ τὰ ὅπλα.
rushed to the arms

II · TYRE AND ARADUS

Posing as unpaid Greek mercenaries, Chaereas and his men get inside Tyre and open it to the Egyptians, but he alone will not celebrate. The Persian king crosses the Euphrates and leaves the queen, Callirhoe, and the treasure on the island of Aradus, where Callirhoe laments to Aphrodite. Chaereas commands the Egyptian fleet. On land the Persians win, and Dionysius brings the Egyptian king's head and is promised Callirhoe. At sea Chaereas wins and takes Aradus, where a veiled captive refuses to come to him, and he orders that she be left alone.

Κοσμήσας δὲ αὐτοὺς ὁ Χαιρέας ταῖς καλλίσταις 4.1
having-equipped and them — Chaereas with-the most-beautiful
πανοπλίαις ἤγαγεν ἐπὶ τὴν βασιλέως σκηνήν. Ἰδὼν δὲ
full-armors led-them to the king's tent having-seen and

ὁ Αἰγύπτιος ἐθαύμασε καὶ ἄλλους ὁρᾶν ὑπελάμβανεν, οὐ
the Egyptian marveled and others to-see he-supposed not
τοὺς συνήθεις, ἐπηγγείλατο δὲ αὐτοῖς μεγάλας δωρεάς.
the usual promised and them great gifts

4.2 "Ταῦτα μὲν" ἔφη Χαιρέας "πιστεύομεν· σὺ δὲ ἔχε τὴν
these-things indeed said Chaereas we-trust you but keep the
ἄλλην στρατιὰν ἐν τοῖς ὅπλοις καὶ μὴ πρότερον ἐπέλθῃς
rest army under — arms and not sooner attack
τῇ Τύρῳ, πρὶν κρατήσωμεν αὐτῆς καὶ ἀναβάντες ἐπὶ τὰ
— Tyre before we-master it and having-climbed onto the
τείχη καλῶμεν ὑμᾶς."
walls we-call you

4.3 "Οὕτως" ἔφη "ποιήσειαν οἱ θεοί." Συνεσπειραμένους οὖν
so he-said may-make-it the gods closely-massed then
ὁ Χαιρέας ἐκείνους ἤγαγεν ἐπὶ τὴν Τύρον, ὥστε πολὺ
— Chaereas them led to — Tyre so-that much
ἐλάττονας δόξαι· καὶ ὡς ἀληθῶς
fewer to-seem and as truly

ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.
shield then on-shield pressed helmet on-helmet on-man and man

καὶ τὸ μὲν πρῶτον οὐδὲ καθεωρῶντο ὑπὸ τῶν πολεμίων·
and the indeed first not-even they-were-seen by the enemies
ὡς δ' ἐγγὺς ἦσαν, βλέποντες αὐτοὺς οἱ ἀπὸ τῶν
when but near they-were seeing them those on the
τειχῶν ἐσήμαινον τοῖς ἔνδον, πᾶν μᾶλλον ἢ πολεμίους
walls signaled to-those inside anything rather than enemies
εἶναι προσδοκῶντες.
to-be expecting

Τίς γὰρ ἂν καὶ προσεδόκησε τοσούτους ὄντας ἐπὶ τὴν 4.4
who for — even would-have-expected so-few being against the
δυνατωτάτην πόλιν παραγίνεσθαι, πρὸς ἣν οὐδέποτε
most-powerful city to-come against which never
ἐθάρρησεν ἐλθεῖν οὐδὲ πᾶσα ἡ τῶν Αἰγυπτίων δύναμις;
dared to-come not-even all the of-the Egyptians force
ἐπεὶ δὲ τοῖς τείχεσιν ἐπλησίαζον, ἐπυνθάνοντο τίνες
when and to-the walls they-drew-near they-inquired who
εἶεν καὶ τί βούλοιντο.
they-might-be and what they-wanted
Χαιρέας δὲ ἀπεκρίνατο "ἡμεῖς Ἕλληνες μισθοφόροι παρὰ 4.5
Chaereas and answered we Greeks mercenaries from
τοῦ Αἰγυπτίου τὸν μισθὸν οὐκ ἀπολαμβάνοντες ἀλλὰ
the Egyptian the pay not receiving but
καὶ ἐπιβουλευθέντες ἀπολέσθαι πάρεσμεν πρὸς ὑμᾶς, μεθ'
even plotted-against to-be-killed are-here to you with
ὑμῶν ἀμύνεσθαι θέλοντες τὸν κοινὸν ἐχθρόν."
you to-take-vengeance-on wishing the common enemy
Ἐμήνυσέ τις ταῦτα τοῖς ἔνδον καὶ ἀνοίξας τὰς 4.6
reported someone these-things to-those inside and having-opened the
πύλας προῆλθεν ὁ στρατηγὸς μετ' ὀλίγων. Τοῦτον πρῶτον
gates came-forward the general with few this-man first
Χαιρέας ἀποκτείνας ὥρμησεν ἐπὶ τοὺς ἄλλους,
Chaereas having-killed rushed at the others

τύπτε δ' ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ' ἀεικής.
he-struck and turning-every-way of-them and a-groaning rose unseemly

ἄλλος δ' ἄλλον ἐφόνευεν, ὥσπερ λέοντες εἰς ἀγέλην
one and another slew as lions on a-herd
βοῶν ἐμπεσόντες ἀφύλακτον· οἰμωγὴ δὲ καὶ θρῆνος
of-cattle having-fallen unguarded wailing and and lamentation

κατεῖχε τὴν πόλιν ἅπασαν, ὀλίγων μὲν τὸ γινόμενον
held the city all few indeed the-thing happening
ὁρώντων, πάντων δὲ θορυβουμένων.
seeing all but being-thrown-into-confusion

4.7 Καὶ ὄχλος ἄτακτος ἐξεχεῖτο διὰ τῆς πύλης, βουλόμενος
and a-crowd disorderly poured-out through the gate wishing
θεάσασθαι τὸ συμβεβηκός. Τοῦτο μάλιστα τοὺς Τυρίους
to-see the-thing having-happened this most the Tyrians
ἀπώλεσεν.
destroyed

4.8 Οἱ μὲν γὰρ ἔνδοθεν ἐξελθεῖν ἐβιάζοντο, οἱ δὲ ἔξω
those indeed for from-inside to-go-out were-forcing-(their-way) those but outside
παιόμενοι καὶ κεντούμενοι ξίφεσι καὶ λόγχαις εἴσω πάλιν
being-struck and being-stabbed with-swords and spears inside again
ἔφευγον, ἀπαντῶντες δ' ἀλλήλοις ἐν στενοχωρίᾳ πολλὴν
fled meeting and each-other in a-narrow-place much
ἐξουσίαν παρεῖχον τοῖς φονεύουσιν. Οὔκουν οὐδὲ τὰς πύλας
license they-afforded to-those slaughtering so not-even the gates
δυνατὸν ἦν κλεῖσαι, σεσωρευμένων ἐν αὐταῖς τῶν νεκρῶν.
possible it-was to-shut having-been-heaped in them the corpses

4.9 Ἐν δὲ τῷ ἀδιηγήτῳ τούτῳ ταράχῳ μόνος ἐσωφρόνησε
in and the indescribable this turmoil alone kept-his-head
Χαιρέας· βιασάμενος γὰρ τοὺς ἀπαντῶντας καὶ εἴσω
Chaereas having-forced for those meeting-him and inside
τῶν πυλῶν γενόμενος ἀνεπήδησεν ἐπὶ τὰ τείχη δέκατος
the gates having-got he-leapt-up onto the walls the-tenth
αὐτὸς καὶ ἄνωθεν ἐσήμαινε καλῶν τοὺς Αἰγυπτίους, οἱ
himself and from-above he-signaled calling the Egyptians they
δὲ λόγου θᾶττον παρῆσαν καὶ Τύρος ἑαλώκει.
and than-word quicker were-there and Tyre had-been-taken

Τύρου δὲ ἁλούσης οἱ μὲν ἄλλοι πάντες ἑώρταζον, 4.10
Tyre and having-been-taken the indeed others all feasted
μόνος δὲ Χαιρέας οὔτε ἔθυσεν οὔτε ἐστεφανώσατο. “Τί γάρ
alone but Chaereas neither sacrificed nor was-garlanded what for
μοι ὄφελος ἐπινικίων, ἂν σύ, Καλλιρρόη, μὴ βλέπῃς;
to-me the-profit of-victory-celebrations if you Callirhoe not see
οὐκέτι στεφανώσομαι μετ᾽ ἐκείνην τὴν γαμήλιον νύκτα.
no-longer I-will-be-garlanded after that the wedding night
Εἴτε γὰρ τέθνηκας, ἀσεβῶ, εἴτε καὶ ζῇς, πῶς ἑορτάζειν
whether for you-have-died I-am-impious or even you-live how to-feast
δύναμαι δίχα σοῦ, κατακειμένης ἂν ἐν τοιούτοις;”
can-I without you lying-down — in such-things
Βασιλεὺς δὲ ὁ Περσῶν διαβὰς τὸν Εὐφράτην ἔσπευδεν 4.11
the-king and the of-Persians having-crossed the Euphrates hastened
ὡς τάχιστα τοῖς πολεμίοις συμμίξαι. Πυθόμενος γὰρ
as quickly-as-possible with-the enemies to-engage having-learned for
Τύρον ἑαλωκέναι περὶ Σίδωνος ἐφοβεῖτο καὶ τῆς ὅλης
Tyre to-have-been-taken for Sidon he-feared and for-the whole
Συρίας, ὁρῶν τὸν πολέμιον ἀντίπαλον ἤδη.
Syria seeing the enemy a-match already
Διὰ τοῦτο ἔδοξεν αὐτῷ μηκέτι μετὰ πάσης τῆς 4.12
because-of this it-seemed-best to-him no-longer with all the
θεραπείας ὁδεύειν, ἀλλ᾽ εὐζωνότερον, ἵνα μηδὲν ἐμπόδιον
retinue to-journey but more-lightly-equipped so-that nothing an-obstacle
ᾖ τῷ τάχει. Παραλαβὼν δὲ τῆς στρατιᾶς τὸ
might-be to-the speed having-taken and of-the army the
καθαρώτατον τὴν ἄχρηστον ἡλικίαν αὐτοῦ κατέλιπε μετὰ
choicest-part the useless age there he-left with
τῆς βασιλίδος καὶ τὰ χρήματα καὶ τὰς ἐσθῆτας καὶ τὸν
the queen and the money and the clothes and the
πλοῦτον τὸν βασιλικόν.
wealth the royal

4.13 Ἐπεὶ δὲ πάντα θορύβου καὶ ταραχῆς ἐπέπλησto καὶ
when and all with-uproar and confusion was-filled and
μέχρις Εὐφράτου τὰς πόλεις κατειλήφει ὁ πόλεμος, ἔδοξεν
as-far-as the-Euphrates the cities had-seized the war it-seemed
ἀσφαλέστερον εἶναι, τοὺς καταλειπομένους εἰς Ἄραδον
safer to-be those being-left-behind in Aradus
ἀποθέσθαι.
to-deposit

5.1 Νῆσος δέ ἐστιν αὕτη ἀπέχουσα τῆς ἠπείρου σταδίους
an-island and is this distant from-the mainland stades
τριάκοντα, παλαιὸν ἱερὸν ἔχουσα Ἀφροδίτης. Ὥσπερ οὖν
thirty an-ancient temple having of-Aphrodite as then
ἐν οἰκίᾳ, μετὰ πάσης ἀδείας αἱ γυναῖκες ἐνταῦθα διῆγον.
in a-house with all security the women there spent-their-time

5.2 Θεασαμένη δὲ Καλλιρρόη τὴν Ἀφροδίτην, στᾶσα
having-seen and Callirhoe — Aphrodite standing
καταντικρὺ τὸ μὲν πρῶτον ἐσιώπα καὶ ἔκλαεν,
opposite the indeed first she-was-silent and wept
ὀνειδίζουσα τῇ θεῷ τὰ δάκρυα· μόλις δὲ ὑπεφθέγξατο
reproaching the goddess (with)-the tears barely and she-murmured
“ἰδοὺ καὶ Ἄραδος, μικρὰ νῆσος ἀντὶ τῆς μεγάλης
behold even Aradus a-small island instead-of the great
Σικελίας καὶ οὐδεὶς ἐνταῦθα ἐμός.
Sicily and no-one here mine

5.3 Ἀρκεῖ δέσποινα. Μέχρι πότε με πολεμεῖς; εἰ καὶ ὅλως σοι
it-is-enough lady until when me do-you-war-on if even at-all you
προσέκρουσα, τετιμώρησαί με· εἰ καὶ νεμεσητὸν ἔδοξέ μοι
I-offended you-have-punished me if even deserving-of-nemesis seemed to-me
τὸ δυστυχὲς κάλλος, ὀλέθρου μοι γέγονεν αἴτιον. Ὃ μόνον
the unfortunate beauty of-ruin to-me it-has-become the-cause what alone
ἔλιπέ μου ταῖς συμφοραῖς, ἤδη καὶ πολέμου πεπείραμαι.
was-lacking to-my — misfortunes now even war I-have-experienced

Πρὸς τὴν σύγκρισιν τῶν παρόντων ἦν μοι καὶ Βαβυλὼν 5.4
by the comparison of-the present-things was to-me even Babylon
φιλάνθρωπος. Ἐγγὺς ἐκεῖ Χαιρέας ἦν. Νῦν δὲ πάντως
kind near there Chaereas was now but surely
τέθνηκεν· ἐμοῦ γὰρ ἐξελθούσης οὐκ ἂν ἔζησεν. Ἀλλ'
he-has-died me for having-gone-out not — he-would-have-lived but
οὐκ ἔχω παρὰ τίνος πύθωμαι τί γέγονε.
not I-have from whom I-may-learn what has-happened
Πάντες ἀλλότριοι, πάντες βάρβαροι, φθονοῦντες, μισοῦντες, 5.5
all strangers all barbarians envying hating
τῶν δὲ μισούντων χείρονες οἱ φιλοῦντες. Σύ μοι,
than-the and haters worse those loving you to-me
δέσποινα, δήλωσον εἰ Χαιρέας ζῇ." Ταῦτα λέγουσα
lady make-clear whether Chaereas lives these-things saying
ἔτι ἀπῄει· ἐπιστᾶσα δὲ Ῥοδογύνη, Ζωπύρου μὲν
still she-was-going-away having-come-up and Rhodogyne of-Zopyrus indeed
θυγάτηρ, γυνὴ δὲ Μεγαβύζου, καὶ πατρὸς καὶ ἀνδρὸς Περσῶν
daughter wife but of-Megabyzus both father and husband of-Persians
ἀρίστων *** αὕτη δὲ ἦν ἡ Καλλιρρόῃ ἀπαντήσασα
best (lacuna) she and was the-one Callirhoe having-met
πρώτη Περσίδων, ὅτε εἰς Βαβυλῶνα εἰσῄει. ***
first of-Persian-women when into Babylon she-was-entering (lacuna)
Ὁ δὲ Αἰγύπτιος ἐπειδήπερ ἤκουσε βασιλέα πλησίον ὄντα 5.6
the and Egyptian since he-heard the-king near being
καὶ παρεσκευασμένον κατὰ γῆν καὶ κατὰ θάλασσαν,
and prepared by land and by sea
καλέσας Χαιρέαν εἶπε "τὰ μὲν πρῶτά σου τῶν
having-called Chaereas said the indeed first your —
κατορθωμάτων ἀμείψασθαι καιρὸν οὐκ ἔσχον· σὺ γάρ
successes to-repay an-occasion not I-had you for

μοι Τύρον ἔδωκας· περὶ δὲ τῶν ἑξῆς παρακαλῶ, μὴ
me Tyre gave about but the next I-urge let-us-not
ἀπολέσωμεν ἕτοιμα ἀγαθά, ὧν κοινωνόν σε ποιήσομαι.
lose ready goods of-which partner you I-will-make
5.7 Ἐμοὶ μὲν γὰρ ἀρκεῖ Αἴγυπτος, σοὶ δὲ γενήσεται
for-me indeed for is-enough Egypt for-you and will-become
κτῆμα Συρία. Φέρ' οὖν σκεψώμεθα τί ποιητέον· ἐν
a-possession Syria come then let-us-consider what must-be-done in
ἀμφοτέροις γὰρ τοῖς στοιχείοις ὁ πόλεμος ἀκμάζει.
both for the elements the war is-at-its-height
Σοὶ δὲ ἐπιτρέπω τὴν αἵρεσιν, εἴτε τῆς πεζῆς θέλεις
to-you and I-entrust the choice whether the infantry you-wish
στρατηγεῖν εἴτε τῆς ναυτικῆς δυνάμεως.
to-command or the naval force
5.8 Οἴομαι δὲ οἰκειότερόν σοι εἶναι τὴν θάλασσαν· ὑμεῖς
I-think and more-congenial to-you to-be the sea you
γὰρ οἱ Συρακούσιοι καὶ Ἀθηναίους κατεναυμαχήσατε.
for the Syracusans even Athenians defeated-at-sea
Σήμερον δὲ ἀγών ἐστί σοι πρὸς Πέρσας τοὺς ὑπὸ
today and a-contest is for-you against Persians those by
Ἀθηναίων νενικημένους. Ἔχεις τριήρεις Αἰγυπτίας, μείζονας
Athenians having-been-defeated you-have triremes Egyptian bigger
καὶ πλείονας τῶν Σικελικῶν· μίμησαι τὸν κηδεστὴν
and more-numerous than-the Sicilian imitate the father-in-law
Ἑρμοκράτην ἐν τῇ θαλάσσῃ." Χαιρέας δὲ ἀπεκρίνατο
Hermocrates on the sea Chaereas and answered
"πᾶς ἐμοὶ κίνδυνος ἡδύς· ὑπὲρ σοῦ δὲ ἀναδέξομαι τὸν
every to-me danger sweet for you and I-will-take-on the
πόλεμον καὶ πρὸς τὸν ἔχθιστόν μοι βασιλέα.
war and against the most-hated to-me king

Δὸς δέ μοι μετὰ τῶν τριηρῶν καὶ τοὺς τριακοσίους τοὺς 5.9
give and me with the triremes also the three-hundred —
ἐμούς.” “Ἔχε” φησὶ “καὶ τούτους καὶ ἄλλους, ὅσους ἂν
mine have-them he-says both these and others as-many-as —
θέλῃς.” Καὶ εὐθὺς ἔργον ἐγένετο ὁ λόγος· κατήπειγε γὰρ
you-wish and at-once deed became the word pressed for
ἡ χρεία. Καὶ ὁ μὲν Αἰγύπτιος ἔχων τὴν πεζὴν στρατιὰν
the need and the indeed Egyptian having the infantry army
ἀπήντα τοῖς πολεμίοις, ὁ δὲ Χαιρέας ναύαρχος ἀπεδείχθη.
went-to-meet the enemies — and Chaereas admiral was-appointed
Τοῦτο ἀθυμοτέρους ἐποίησε τοὺς πεζούς, ὅτι μετ’ αὐτῶν 5.10
this more-dispirited made the infantry that with them
οὐκ ἐστρατεύσατο Χαιρέας, καὶ γὰρ ἐφίλουν αὐτὸν ἤδη
not campaigned Chaereas and for they-loved him already
καὶ ἀγαθὰς εἶχον ἐλπίδας ἐκείνου στρατηγοῦντος. Ἔδοξεν
and good they-had hopes he being-general it-seemed
οὖν ὥσπερ ὀφθαλμὸς ἐξῃρῆσθαι μεγάλου σώματος.
then as-if an-eye to-have-been-removed of-a-great body
Τὸ δὲ ναυτικὸν ἐπήρθη ταῖς ἐλπίσι καὶ φρονήματος 5.11
the and navy was-lifted by-its hopes and with-spirit
ἐνεπλήσθησαν, ὅτι τὸν ἀνδρειότατον καὶ κάλλιστον εἶχον
were-filled that the bravest and most-beautiful they-had
ἡγούμενον. Ὀλίγον τε ἐπένθουν ἢ οὐδέν, ἀλλὰ ὥρμηντο
as-leader little and they-grieved or nothing but they-rushed
καὶ τριήραρχοι καὶ κυβερνῆται καὶ ναῦται καὶ στρατιῶται
both trierarchs and helmsmen and sailors and soldiers
πάντες ὁμοίως, τίς προθυμίαν ἐπιδείξεται Χαιρέᾳ πρῶτος.
all alike who zeal will-display for-Chaereas first
Τῆς δὲ αὐτῆς ἡμέρας καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἡ 5.12
on-the and same day both by land and by sea the
μάχη συνήφθη. Χρόνον μὲν οὖν πολὺν ἀντέσχεν ἡ πεζὴ
battle was-joined for-a-time indeed then long held-out the infantry

στρατιὰ τῶν Αἰγυπτίων Μήδοις τε καὶ Πέρσαις, εἶτα
army of-the Egyptians against-Medes both and Persians then
πλήθει βιασθέντες ἐνέδωκαν. Καὶ βασιλεὺς δὲ ἔφιππος
by-numbers forced they-gave-way and the-king and on-horseback
διώκων ***. Σπουδὴ δὲ ἦν τοῦ Αἰγυπτίου καταφυγεῖν
pursuing (lacuna) eagerness and was of-the Egyptian to-flee-for-refuge
εἰς Πηλούσιον, τοῦ δὲ Πέρσου θᾶττον καταλαβεῖν· τάχα
to Pelusium of-the and Persian sooner to-catch-him perhaps
δ' ἂν καὶ διέφυγεν, εἰ μὴ Διονύσιος ἔργον θαυμαστὸν
and — even he-would-have-escaped if not Dionysius a-deed marvelous
ἐπεδείξατο.
had-displayed

5.13 καὶ ἐν τῇ συμβολῇ ἠγωνίσατο λαμπρῶς, ἀεὶ μαχόμενος
and in the engagement he-fought brilliantly always fighting
πλησίον βασιλέως, ἵνα αὐτὸν βλέπῃ, καὶ πρῶτος
near the-king so-that him he-might-see and first
ἐτρέψατο τοὺς καθ' αὑτόν· τότε δὲ τῆς φυγῆς μακρᾶς
routed those against himself then and the flight long
οὔσης καὶ συνεχοῦς ἡμέραις τε καὶ νυξίν, ὁρῶν ἐπὶ τούτοις
being and continuous by-days both and nights seeing at these-things
λυπούμενον βασιλέα "μὴ λυποῦ" φησίν, "ὦ δέσποτα·
grieving the-king do-not grieve he-says O master
κωλύσω γὰρ ἐγὼ τὸν Αἰγύπτιον διαφυγεῖν, ἄν μοι δῷς
I-will-prevent for I the Egyptian to-escape if to-me you-give
ἱππεῖς ἐπιλέκτους." Ἐπήνεσε βασιλεὺς καὶ δίδωσιν· ὁ
horsemen picked praised-him the-king and gives he
δὲ πεντακισχιλίους λαβὼν συνῆψε σταθμοὺς δύο ἡμέρᾳ
and five-thousand having-taken joined stages two in-day
μιᾷ, καὶ νυκτὸς ἐπιπεσὼν τοῖς Αἰγυπτίοις ἀπροσδόκητος
one and by-night having-fallen-on the Egyptians unexpected
πολλοὺς μὲν ἐζώγρησε, πλείονας δὲ ἀπέκτεινεν.
many indeed he-took-alive more and killed

Ὁ δὲ Αἰγύπτιος ζῶν καταλαμβανόμενος ἀπέσφαξεν ἑαυτὸν 5.14
the and Egyptian alive being-caught slaughtered himself
καὶ Διονύσιος τὴν κεφαλὴν ἐκόμισε πρὸς βασιλέα.
and Dionysius the head brought to the-king
Θεασάμενος δὲ ἐκεῖνος "ἀναγράψω σε" εἶπεν "εὐεργέτην εἰς 5.15
having-seen-it and he I-will-register you he-said as-benefactor in
τὸν οἶκον τὸν ἐμὸν καὶ ἤδη σοι δίδωμι δῶρον τὸ ἥδιστον,
the house — my and already to-you I-give a-gift the sweetest
οὗ μάλιστα πάντων αὐτὸς ἐπιθυμεῖς, Καλλιρρόην. Κέκρικε
which most of-all yourself you-desire Callirhoe has-judged
τὴν δίκην ὁ πόλεμος. Ἔχεις τὸ κάλλιστον ἆθλον τῆς
the case the war you-have the most-beautiful prize of-the
ἀριστείας." Διονύσιος δὲ προσεκύνησε καὶ ἰσόθεον ἔδοξεν
valor Dionysius and did-obeisance and equal-to-a-god thought
ἑαυτόν, πεπεισμένος ὅτι βεβαίως ἤδη Καλλιρρόης ἀνήρ ἐστι.
himself persuaded that securely now of-Callirhoe husband he-is
Καὶ ἐν μὲν τῇ γῇ ταῦτα ἐπράσσετο· ἐν δὲ τῇ θαλάσσῃ 6.1
and on indeed the land these-things were-done on but the sea
Χαιρέας ἐνίκησεν, ὥστε μηδὲ ἀντίπαλον αὐτῷ γενέσθαι τὸ
Chaereas won so-that not-even a-match to-him to-be the
πολέμιον ναυτικόν· οὔτε γὰρ τὰς ἐμβολὰς ἐδέξαντο τῶν
enemy navy neither for the rams they-withstood of-the
Αἰγυπτίων τριηρῶν, οὔτε ὅλως ἀντίπρῳροι κατέστησαν,
Egyptian triremes nor at-all prow-to-prow they-stood
ἀλλὰ αἱ μὲν εὐθὺς ἀνετράπησαν, τὰς δὲ καὶ πρὸς τὴν
but some indeed at-once were-overturned others and even to the
γῆν ἐξενεχθείσας ἐζώγρησεν αὐτάνδρους· ἐνεπλήσθη δὲ ἡ
land carried-off he-captured crews-and-all was-filled and the
θάλασσα ναυαγίων Μηδικῶν.
sea with-wrecks Median

6.2 Ἀλλ᾽ οὔτε βασιλεὺς ἐγίνωσκε τὴν ἧτταν τὴν ἐν τῇ θαλάσσῃ
but neither the-king knew the defeat the on the sea
τῶν ἰδίων οὔτε Χαιρέας τὴν ἐν τῇ γῇ τῶν Αἰγυπτίων,
of-his own nor Chaereas the-one on the land of-the Egyptians
ἐνόμιζε δὲ ἑκάτερος κρατεῖν ἐν ἀμφοτέροις. Ἐκείνης οὖν
thought but each to-be-winning in both on-that then
τῆς ἡμέρας, ἧς ἐναυμάχησε, καταπλεύσας εἰς Ἄραδον ὁ
the day on-which he-fought-at-sea having-sailed-in to Aradus —
Χαιρέας τὴν μὲν νῆσον ἐκέλευσε περιπλέοντας ἐν κύκλῳ
Chaereas the indeed island ordered sailing-around in a-circle
παραφυλάττειν, ὡς αὐτῆς ἀποδώσοντας λόγον τῷ δεσπότῃ.
to-guard as of-it going-to-render account to-the master
6.3 Κἀκεῖνοι τοὺς μὲν εὐνούχους καὶ θεραπαινίδας καὶ πάντα
and-they the indeed eunuchs and maids and all
τὰ εὐωνότερα σώματα συνήθροισαν εἰς τὴν ἀγοράν, αὕτη
the cheaper bodies gathered into the marketplace this
γὰρ εὐρυχωρίαν εἶχε. Τοσοῦτο δὲ ἦν τὸ πλῆθος, ὥστε οὐ
for spaciousness had so-great and was the multitude that not
μόνον ἐν ταῖς στοαῖς, ἀλλὰ καὶ ὑπαίθριοι διενυκτέρευσαν.
only in the porticoes but also under-the-open-sky they-spent-the-night
6.4 Τοὺς δὲ ἀξιώματός τι μετέχοντας εἰς οἴκημα τῆς
those and of-rank some-share having into a-building of-the
ἀγορᾶς εἰσήγαγον, ἐν ᾧ συνήθως οἱ ἄρχοντες ἐχρημάτιζον.
marketplace they-led in which usually the magistrates did-business
Αἱ δὲ γυναῖκες χαμαὶ ἐκαθέζοντο περὶ τὴν βασιλίδα
the and women on-the-ground sat around the queen
καὶ οὔτε πῦρ ἀνῆψαν οὔτε τροφῆς ἐγεύσαντο· πεπυσμέναι
and neither fire kindled nor of-food tasted having-learned
γὰρ ἦσαν ἑαλωκέναι μὲν βασιλέα καὶ ἀπολωλέναι τὰ
for they-had to-have-been-captured indeed the-king and to-have-been-lost the
Περσῶν πράγματα, τὸν δὲ Αἰγύπτιον πανταχοῦ νικᾶν.
of-Persians affairs the and Egyptian everywhere to-be-winning

Ἡ νὺξ ἐκείνη καὶ ἡδίστη καὶ χαλεπωτάτη κατέσχεν 6.5
the night that both sweetest and harshest held
Ἄραδον. Αἰγύπτιοι μὲν γὰρ ἔχαιρον ἀπηλλαγμένοι πολέμου
Aradus Egyptians indeed for rejoiced released from-war
καὶ δουλείας Περσικῆς, οἱ δὲ ἑαλωκότες Περσῶν δεσμὰ
and from-slavery Persian those and captured of-Persians bonds
καὶ μάστιγας καὶ ὕβρεις καὶ σφαγὰς προσεδόκων, τὸ
and whips and outrages and slaughters expected the
φιλανθρωπότατον δέ, δουλείαν· ἡ δὲ Στάτειρα ἐνθεῖσα
most-humane and slavery — and Stateira having-put
τὴν κεφαλὴν εἰς τὰ γόνατα Καλλιρρόης ἔκλαεν· ἐκείνη
— her-head into the knees of-Callirhoe wept she
γάρ, ὡς ἂν Ἑλληνὶς καὶ πεπαιδευμένη καὶ οὐκ ἀμελέτητος
for as — a-Greek and educated and not unpracticed
κακῶν, παρεμυθεῖτο μάλιστα τὴν βασιλίδα.
in-evils consoled most the queen
Συνέβη δέ τι τοιοῦτον. Αἰγύπτιος στρατιώτης, ὁ 6.6
it-happened and something such an-Egyptian soldier the-one
πεπιστευμένος φυλάττειν τοὺς ἐν τῷ οἰκήματι, γνοὺς
entrusted to-guard those in the building having-learned
ἔνδον εἶναι τὴν βασιλίδα, κατὰ τὴν ἔμφυτον θρησκείαν
inside to-be the queen according-to the innate reverence
τῶν βαρβάρων πρὸς τοὔνομα τὸ βασιλικὸν ἐγγὺς μὲν
of-the barbarians toward the-name the royal near indeed
αὐτῇ προσελθεῖν οὐκ ἐτόλμησε, στὰς δὲ παρὰ τῇ θύρᾳ
to-her to-approach not dared standing but by the door
κεκλεισμένῃ· "θάρρει, δέσποινα" εἶπε, "νῦν μὲν γὰρ οὐκ
closed take-heart mistress he-said now indeed for not
οἶδεν ὁ ναύαρχος ὅτι καὶ σὺ μετὰ τῶν αἰχμαλώτων
knows the admiral that even you with the captives
ἐνταῦθα κατεκλείσθης, μαθὼν δὲ προνοήσεταί σου
here have-been-shut-in having-learned but he-will-provide-for you

φιλανθρώπως· οὐ μόνον γὰρ ἀνδρεῖος, ἀλλὰ καὶ γυναῖκα
humanely not only for brave but even a-wife
ποιήσεται· φύσει γάρ ἐστι φιλογύναιος."
he-will-make-you by-nature for he-is a-lover-of-women

6.7 Ταῦτα ἀκούσασα ἡ Καλλιρρόη μέγα ἀνεκώκυε καὶ τὰς
these-things having-heard — Callirhoe loudly wailed and the
τρίχας ἐσπάραττε λέγουσα "νῦν ἀληθῶς αἰχμάλωτός εἰμι.
hair tore saying now truly a-captive I-am
Φόνευσόν με μᾶλλον ἢ ταῦτα ἐπαγγέλλου.
murder me rather than these-things announce

6.8 Γάμον οὐχ ὑπομένω· θάνατον εὔχομαι. Κεντείτωσαν καὶ
marriage not I-endure death I-pray-for let-them-stab and
καέτωσαν, ἐντεῦθεν οὐκ ἀναστήσομαι· τάφος ἐμὸς ἔσται
let-them-burn from-here not I-will-get-up tomb mine will-be
οὗτος ὁ τόπος. Εἰ δέ, ὡς λέγεις, φιλάνθρωπός ἐστιν ὁ
this the place if but as you-say humane is the
στρατηγός, ταύτην μοι δότω τὴν χάριν· ἐνταῦθά με
general this to-me let-him-give the favor here me
ἀποκτεινάτω."
let-him-kill

6.9 Δεήσεις αὐτῇ πάλιν ἐκεῖνος προσέφερεν, ἡ δ' οὐκ ἀνίστατο,
entreaties to-her again he offered she but not got-up
ἀλλ' ἐγκεκαλυμμένη πεσοῦσα ἐπὶ τῆς γῆς ἔκειτο. Σκέψις
but veiled having-fallen on the ground lay a-question
προύκειτο τῷ Αἰγυπτίῳ τί καὶ πράξειε· βίαν μὲν γὰρ
lay-before the Egyptian what even he-should-do force indeed for
οὐκ ἐτόλμα προσφέρειν, πεῖσαι δὲ πάλιν οὐκ ἐδύνατο.
not he-dared to-apply to-persuade and in-turn not he-could
Διόπερ ὑποστρέψας προσῆλθε τῷ Χαιρέᾳ σκυθρωπός.
therefore having-turned-back he-approached — Chaereas sullen

Ὁ δὲ ἰδὼν "τοῦτο ἄλλο" φησὶν "ἦν. Κλέπτουσί 6.10
he and having-seen this something-else he-says it-was are-stealing
τινες τὰ κάλλιστα τῶν λαφύρων, ἀλλ' οὐ χαίροντες αὐτὸ
some the most-beautiful of-the spoils but not rejoicing it
πράξουσι." Ὡς οὖν εἶπεν ὁ Αἰγύπτιος "οὐδεμιᾷ γέγονε
they-will-do as then said the Egyptian to-none has-happened
κακόν, δέσποτα· τὴν γὰρ γυναῖκα, ἣν εὗρον ἐν πλαταίαις
harm master the for woman whom I-found in the-broad-places
τεταγμένην, οὐ βούλεται ἐλθεῖν, ἀλλ' ἔρριπται χαμαί,
stationed not wishes to-come but has-flung-herself on-the-ground
ξίφος αἰτοῦσα καὶ ἀποθανεῖν βουλομένη," γελάσας ὁ
a-sword demanding and to-die wishing having-laughed —
Χαιρέας εἶπεν "ὦ πάντων ἀνθρώπων ἀφυέστατε, οὐκ
Chaereas said O of-all men most-inept not
οἶδας πῶς μεθοδεύεται γυνὴ παρακλήσεσιν, ἐπαίνοις,
you-know how is-handled a-woman with-entreaties praises
ἐπαγγελίαις, μάλιστα δέ, ἂν ἐρᾶσθαι δοκῇ; Σὺ δὲ βίαν
promises most and if to-be-loved she-seems you and force
ἴσως προσῆγες καὶ ὕβριν." "Οὔ" φησί, "δέσποτα· πάντα
perhaps applied and outrage no he-says master all
δὲ ταῦτα, ὅσα λέγεις, πεποίηκα ἐν διπλῷ μᾶλλον.
but these-things as-many-as you-say I-have-done in double more
Καὶ γάρ σου κατεψευσάμην ὅτι ἕξεις αὐτὴν γυναῖκα, 6.11
and for about-you I-lied that you-will-have her as-wife
ἡ δὲ πρὸς τοῦτο μάλιστα ἠγανάκτησεν."
she and at this most was-indignant
Ὁ δὲ Χαιρέας "ἐπαφρόδιτος ἄρα" φησὶν "εἰμὶ καὶ 6.12
— and Chaereas charming then he-says I-am and
ἐράσμιος, εἰ καὶ πρὶν ἰδεῖν ἀπεστράφη με καὶ ἐμίσησεν.
lovable if even before seeing she-turned-from me and hated-me
Ἔοικε δὲ τὸ φρόνημα εἶναι τῆς γυναικὸς οὐκ ἀγεννές.
it-seems and the spirit to-be of-the woman not ignoble

Μηδεὶς αὐτῇ προσφερέτω βίαν, ἀλλὰ ἐάτε διάγειν ὡς
let-no-one to-her apply force but let-her live as
προῄρηται· πρέπει γάρ μοι σωφροσύνην τιμᾶν. Καὶ αὐτὴ
she-has-chosen it-befits for me moderation to-honor and she
γὰρ ἴσως ἄνδρα πενθεῖ."
for perhaps a-husband mourns

BOOK VIII

I · THE RECOGNITION

The narrator promises a happier last book. Urged by Polycharmus, Chaereas goes to see the captive. Callirhoe knows his voice, and they faint in each other's arms. They spend the night telling their stories. Before dawn news comes that the king has won on land. On Callirhoe's advice Chaereas hides the news, tells his men they have won, and sails to Paphos on Cyprus. There his men agree to a Spartan's plan to sail for Sicily, and only willing Egyptians are to go with them.

1.1 Ὡς μὲν οὖν Χαιρέας ὑποπτεύσας Καλλιρρόην Διονυσίῳ
how indeed then Chaereas having-suspected Callirhoe to-Dionysius
παραδεδόσθαι, θέλων ἀμύνασθαι βασιλέα πρὸς τὸν
to-have-been-given wishing to-take-vengeance-on the-king to the
Αἰγύπτιον ἀπέστη καὶ ναύαρχος ἀποδειχθεὶς ἐκράτησε
Egyptian revolted and admiral having-been-appointed mastered
τῆς θαλάσσης, νικήσας δὲ κατέσχεν Ἄραδον, ἔνθα βασιλεὺς
the sea having-won and he-occupied Aradus where the-king
καὶ τὴν γυναῖκα τὴν ἑαυτοῦ καὶ πᾶσαν τὴν θεραπείαν
both the wife the his-own and all the retinue
ἀπέθετο καὶ Καλλιρρόην, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται.
had-deposited and Callirhoe in the previous book has-been-shown

Ἔμελλε δὲ ἔργον ἡ τύχη πράττειν οὐ μόνον παράδοξον, 1.2
was-about and a-deed — Fortune to-do not only incredible
ἀλλὰ καὶ σκυθρωπόν, ἵνα ἔχων Καλλιρρόην Χαιρέας
but also gloomy that having Callirhoe Chaereas
ἀγνοήσῃ καὶ τὰς ἀλλοτρίας γυναῖκας ἀναλαβὼν ταῖς
should-not-know and the others' wives having-taken-up in-the
τριήρεσιν ἀπαγάγῃ, μόνην δὲ τὴν ἰδίαν ἐκεῖ καταλίπῃ
triremes should-carry-off alone but the his-own there should-leave-behind
οὐχ ὡς Ἀριάδνην καθεύδουσαν, οὐδὲ Διονύσῳ νυμφίῳ,
not like Ariadne sleeping nor for-Dionysus as-bridegroom
λάφυρον δὲ τοῖς ἑαυτοῦ πολεμίοις.
as-spoil but to-the his-own enemies
Ἀλλ' ἔδοξε τοῦτο δεινὸν Ἀφροδίτῃ· ἤδη γὰρ αὐτῷ 1.3
but seemed this terrible to-Aphrodite already for with-him
διηλλάττετο, πρότερον ὀργισθεῖσα χαλεπῶς διὰ τὴν
she-was-being-reconciled before having-been-angered harshly because-of the
ἄκαιρον ζηλοτυπίαν, ὅτι δῶρον παρ' αὐτῆς λαβὼν τὸ
untimely jealousy that a-gift from her having-received the
κάλλιστον, οἷον οὐδὲ Ἀλέξανδρος ὁ Πάρις, ὕβρισεν
most-beautiful such-as not-even Alexander — Paris he-had-outraged
εἰς τὴν χάριν. Ἐπεὶ δὲ καλῶς ἀπελογήσατο τῷ Ἔρωτι
against the favor when and well he-had-made-his-defense — to-Love
Χαιρέας ἀπὸ δύσεως εἰς ἀνατολὰς διὰ μυρίων παθῶν
Chaereas from the-west to the-east through countless sufferings
πλανηθείς, ἠλέησεν αὐτὸν Ἀφροδίτη καί, ὅπερ ἐξ
having-wandered pitied him Aphrodite and the-very-one-which from
ἀρχῆς δύο τῶν καλλίστων ἥρμοσε ζεῦγος, γυμνάσασα
the-beginning two of-the most-beautiful she-had-fitted pair having-trained
διὰ γῆς καὶ θαλάσσης, πάλιν ἠθέλησεν ἀλλήλοις ἀποδοῦναι.
through land and sea again she-wished to-each-other to-give-back

1.4 Νομίζω δὲ καὶ τὸ τελευταῖον τοῦτο σύγγραμμα τοῖς
I-think and even the last this book for-those
ἀναγινώσκουσιν ἥδιστον γενήσεσθαι· καθάρσιον γάρ ἐστι
reading most-pleasant to-be-going-to-be a-cleansing for it-is
τῶν ἐν τοῖς πρώτοις σκυθρωπῶν. Οὐκέτι λῃστεία καὶ
of-the in the first-books gloomy-things no-longer piracy and
δουλεία καὶ δίκη καὶ μάχη καὶ ἀποκαρτέρησις καὶ πόλεμος
slavery and trial and battle and starvation and war
καὶ ἅλωσις, ἀλλ' ἔρωτες δίκαιοι ἐν τούτῳ καὶ νόμιμοι γάμοι.
and capture but loves lawful in this and legal marriages
1.5 Πῶς οὖν ἡ θεὸς ἐφώτισε τὴν ἀλήθειαν καὶ τοὺς
how then the goddess brought-to-light the truth and those
ἀγνοουμένους ἔδειξεν ἀλλήλοις λέξω. Ἑσπέρα μὲν ἦν, ἔτι
unrecognized showed to-each-other I-will-tell evening indeed it-was still
δὲ πολλὰ τῶν αἰχμαλώτων κατελέλειπτο. Κεκμηκὼς οὖν ὁ
and many of-the captives had-been-left-behind weary then —
Χαιρέας ἀνίσταται, ἵνα διατάξηται τὰ πρὸς τὸν πλοῦν.
Chaereas gets-up so-that he-might-arrange the-things for the voyage
1.6 Παριόντι δὲ αὐτῷ τὴν ἀγορὰν ὁ Αἰγύπτιος ἔλεξεν "ἐνταῦθά
passing and to-him the marketplace the Egyptian said here
ἐστιν ἡ γυνή, ὦ δέσποτα, ἡ μὴ βουλομένη προσελθεῖν,
is the woman O master the-one not wishing to-come
ἀλλ' ἀποκαρτεροῦσα· τάχα δὲ σὺ πείσεις αὐτὴν ἀναστῆναι·
but starving-herself perhaps but you will-persuade her to-get-up
τί γάρ σε δεῖ καταλείπειν τὸ κάλλιστον τῶν λαφύρων;"
why for you need to-leave-behind the most-beautiful of-the spoils
συνεπελάβετο καὶ Πολύχαρμος τοῦ λόγου, βουλόμενος
joined-in also Polycharmus the speech wishing
ἐμβαλεῖν αὐτόν, εἴ πως δύναιτο, εἰς ἔρωτα καινὸν καὶ
to-throw him if somehow he-could into a-love new and
Καλλιρρόης παραμύθιον. "Εἰσέλθωμεν" ἔφη, "Χαιρέα."
of-Callirhoe a-consolation let-us-go-in he-said Chaereas

Ὑπερβὰς οὖν τὸν οὐδὸν καὶ θεασάμενος ἐρριμμένην καὶ 1.7
having-stepped-over then the threshold and having-seen-her flung-down and
ἐγκεκαλυμμένην εὐθὺς ἐκ τῆς ἀναπνοῆς καὶ τοῦ σχήματος
veiled at-once from the breathing and the posture
ἐταράχθη τὴν ψυχὴν καὶ μετέωρος ἐγένετο· πάντως δ'
he-was-troubled in-the soul and in-suspense became by-all-means and
ἂν καὶ ἐγνώρισεν, εἰ μὴ σφόδρα ἐπέπειστο
— even he-would-have-recognized-her if not vehemently he-had-been-convinced
Καλλιρρόην ἀπειληφέναι Διονύσιον.
Callirhoe to-have-gotten-back Dionysius
Ἠρέμα δὲ προσελθὼν "θάρρει" φησίν, "ὦ γύναι, ἥτις 1.8
quietly and having-approached take-heart he-says O woman whoever
ἂν ἦς, οὐ γάρ σε βιασόμεθα· ἕξεις δὲ ἄνδρα,
— you-are not for you we-will-force you-will-have but the-husband
ὃν θέλεις." Ἔτι λέγοντος ἡ Καλλιρρόη γνωρίσασα
whom you-wish still as-he-spoke — Callirhoe having-recognized
τὴν φωνὴν ἀπεκαλύψατο καὶ ἀμφότεροι συνεβόησαν
the voice uncovered-herself and both cried-out-together
"Χαιρέα" "Καλλιρρόη," περιχυθέντες δὲ ἀλλήλοις,
Chaereas Callirhoe having-thrown-themselves-around and each-other
λιποψυχήσαντες ἔπεσον.
having-fainted they-fell
Ἄφωνος δὲ καὶ Πολύχαρμος τὸ πρῶτον εἱστήκει 1.9
speechless and also Polycharmus at-the first stood
πρὸς τὸ παράδοξον, χρόνου δὲ προϊόντος "ἀνάστητε"
at the incredible-thing time and passing get-up
εἶπεν, "ἀπειλήφατε ἀλλήλους· πεπληρώκασιν οἱ θεοὶ τὰς
he-said you-have-got-back each-other have-fulfilled the gods the
ἀμφοτέρων εὐχάς. Μέμνησθε δὲ ὅτι οὐκ ἐν πατρίδι
of-both prayers remember but that not in your-fatherland

ἐστέ, ἀλλ᾽ ἐν πολεμίᾳ γῇ, καὶ δεῖ ταῦτα πρότερον
you-are but in hostile land and it-is-needful these-things first
οἰκονομῆσαι καλῶς, ἵνα μηδεὶς ἔτι ὑμᾶς διαχωρίσῃ."
to-manage well so-that no-one any-longer you may-separate
1.10 Τοιαῦτα ἐμβοῶντος ὥσπερ τινὲς ἐν φρέατι βαθεῖ
such-things as-he-shouted-out as-if some in a-well deep
βεβαπτισμένοι μόλις ἄνωθεν φωνὴν ἀκούσαντες βραδέως
plunged scarcely from-above a-voice having-heard slowly
ἀνήνεγκαν, εἶτα ἰδόντες ἀλλήλους καὶ καταφιλήσαντες
came-up then having-seen each-other and having-kissed
πάλιν παρείθησαν καὶ δεύτερον καὶ τρίτον τοῦτο
again they-went-limp and a-second and a-third-time this
ἔπραξαν, μίαν φωνὴν ἀφιέντες "ἔχω σε, εἰ ἀληθῶς εἶ
they-did one voice letting-out I-have you if truly you-are
Καλλιρρόη· εἰ ἀληθῶς εἶ Χαιρέας."
Callirhoe if truly you-are Chaereas
1.11 Φήμη δὲ διέτρεχεν ὅτι ὁ ναύαρχος εὕρηκε τὴν γυναῖκα.
a-rumor and ran-about that the admiral has-found his wife
Οὐ στρατιώτης ἔμεινεν ἐν σκηνῇ, οὐ ναύτης ἐν τριήρει,
not a-soldier remained in a-tent not a-sailor in a-trireme
οὐ θυρωρὸς ἐν οἰκίᾳ· πανταχόθεν συνέτρεχον λαλοῦντες
not a-doorkeeper in a-house from-all-sides they-ran-together chattering
"ὦ γυναικὸς μακαρίας, εἴληφε τὸν εὐμορφότατον ἄνδρα."
O woman blessed she-has-got the most-handsome husband
Καλλιρρόης δὲ φανείσης οὐδεὶς ἔτι Χαιρέαν ἐπῄνεσεν,
Callirhoe and having-appeared no-one any-longer Chaereas praised
ἀλλ᾽ εἰς ἐκείνην πάντες ἀφεώρων, ὡς μόνην οὖσαν.
but at her all gazed as alone being
1.12 Ἐβάδιζε δὲ σοβαρά, Χαιρέου καὶ Πολυχάρμου μέσην
she-walked and proudly Chaereas and Polycharmus in-the-middle
αὐτὴν δορυφορούντων. Ἄνθη καὶ στεφάνους ἔβαλλον αὐτοῖς,
her escorting flowers and garlands they-threw at-them

καὶ οἶνος καὶ μύρα πρὸ τῶν ποδῶν ἐχεῖτο, καὶ πολέμου
and wine and perfumes before the feet were-poured and of-war
καὶ εἰρήνης ἦν ὁμοῦ τὰ ἥδιστα, ἐπινίκια καὶ γάμοι.
and of-peace were together the sweetest-things victory-celebrations and a-wedding
Χαιρέας δὲ εἴθιστο μὲν ἐν τριήρει καθεύδειν καὶ νυκτὸς 1.13
Chaereas and was-accustomed indeed on a-trireme to-sleep and by-night
καὶ μεθ' ἡμέραν πολλὰ πράττων· τότε δὲ Πολυχάρμῳ
and by day many-things doing then but to-Polycharmus
πάντα ἐπιτρέψας, αὐτὸς οὐδὲ νύκτα περιμείνας εἰσῆλθεν
everything having-entrusted himself not-even night having-waited-for went-in
εἰς θάλαμον τὸν βασιλικόν· καθ' ἑκάστην γὰρ πόλιν οἶκος
into the-chamber the royal in each for city a-house
ἐξαίρετος ἀποδέδεικται τῷ μεγάλῳ βασιλεῖ.
special has-been-appointed for-the great king
Κλίνη μὲν ἔκειτο χρυσήλατος, στρωμνὴ δὲ Τυρία 1.14
a-couch indeed lay of-beaten-gold coverlet and Tyrian
πορφυρᾶ, ὕφασμα Βαβυλώνιον. Τίς ἂν φράσειε τὴν νύκτα
purple a-weave Babylonian who — could-tell the night
ἐκείνην πόσων διηγημάτων μεστήν, πόσων δὲ δακρύων
that of-how-many stories full of-how-many and tears
ὁμοῦ καὶ φιλημάτων; Πρώτη μὲν ἤρξατο Καλλιρρόη
together and kisses first indeed began Callirhoe
διηγεῖσθαι, πῶς ἀνέζησεν ἐν τῷ τάφῳ, πῶς ὑπὸ Θήρωνος
to-relate how she-revived in the tomb how by Theron
ἐξήχθη, πῶς ἔπλευσε, πῶς ἐπράθη.
she-was-brought-out how she-sailed how she-was-sold
Μέχρι τούτων Χαιρέας ἀκούων ἔκλαεν· ἐπεὶ δὲ ἦκεν εἰς 1.15
up-to these-things Chaereas listening wept when but she-came to
Μίλητον τῷ λόγῳ, Καλλιρρόη μὲν ἐσιώπησεν αἰδουμένη,
Miletus in-the narrative Callirhoe indeed fell-silent being-ashamed
Χαιρέας δὲ τῆς ἐμφύτου ζηλοτυπίας ἀνεμνήσθη, παρηγόρησε
Chaereas and of-the innate jealousy was-reminded consoled

δὲ αὐτὸν τὸ περὶ τοῦ τέκνου διήγημα. Πρὶν δὲ πάντα ἀκοῦσαι
but him the about the child story before but everything to-hear
"λέγε μοι" φησὶ "πῶς εἰς Ἄραδον ἦλθες καὶ ποῦ Διονύσιον
tell me he-says how to Aradus you-came and where Dionysius
καταλέλοιπας καὶ τί σοι πέπρακται πρὸς βασιλέα."
you-have-left and what by-you has-been-done with the-king
1.16 Ἡ δ' εὐθὺς ἀπώμνυτο μὴ ἑωρακέναι Διονύσιον μετὰ τὴν
she and at-once swore not to-have-seen Dionysius after the
δίκην, βασιλέα δὲ ἐρᾶν μὲν αὐτῆς, μὴ κεκοινωνηκέναι
trial the-king and to-love indeed her not to-have-had-intercourse
δὲ αὐτῷ μηδὲ μέχρι φιλήματος. "Ἄδικος οὖν" ἔφη
and with-him not-even up-to a-kiss unjust then he-said
Χαιρέας "ἐγὼ καὶ ὀξὺς εἰς ὀργήν, τηλικαῦτα δεινὰ
Chaereas I and quick to anger such-terrible evils
διατεθεικὼς βασιλέα μηδὲν ἀδικοῦντά σε· σοῦ γὰρ
having-inflicted-on the-king in-nothing wronging you from-you for
ἀπαλλαγεὶς εἰς ἀνάγκην κατέστην αὐτομολίας.
separated into necessity I-was-placed of-desertion
1.17 Ἀλλ' οὐ κατῄσχυνά σε· πεπλήρωκα γῆν καὶ θάλασσαν
but not I-shamed you I-have-filled land and sea
τροπαίων." Καὶ πάντα ἀκριβῶς διηγήσατο, ἐναβρυνόμενος
with-trophies and everything precisely he-narrated priding-himself
τοῖς κατορθώμασιν. Ἐπεὶ δὲ ἄλις ἦν δακρύων καὶ
on-the successes when and enough there-was of-tears and
διηγημάτων, περιπλακέντες ἀλλήλοις
stories having-embraced each-other

ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο.
gladly of-the-bed ancient the-rite they-came-to

Ἔτι δὲ νυκτὸς κατέπλευσέ τις Αἰγύπτιος οὐ τῶν 2.1
still and by-night sailed-in a-certain Egyptian not of-the
ἀφανῶν, ἐκβὰς δὲ τοῦ κέλητος μετὰ σπουδῆς
obscure having-disembarked and from-the cutter with haste
ἐπυνθάνετο ποῦ Χαιρέας ἐστίν. Ἀχθεὶς οὖν πρὸς
he-inquired where Chaereas is having-been-brought then to
Πολύχαρμον ἑτέρῳ μὲν οὐδενὶ ἔφη τὸ ἀπόρρητον δύνασθαι
Polycharmus to-another indeed to-none he-said the secret to-be-able
εἰπεῖν, ἐπείγειν δὲ τὴν χρείαν, ὑπὲρ ἧς ἀφῖκται.
to-tell to-press and the need on-behalf-of which he-has-come
Καὶ ἐπὶ πολὺ μὲν ἀνεβάλλετο Πολύχαρμος τὴν πρὸς 2.2
and for long indeed postponed Polycharmus the to
Χαιρέαν εἴσοδον, ἐνοχλεῖν ἀκαίρως οὐ θέλων· ἐπεὶ δὲ ὁ
Chaereas entrance to-disturb unseasonably not wishing when but the
ἄνθρωπος κατήπειγε, παρανοίξας τοῦ θαλάμου τὴν θύραν
man pressed having-opened-a-little of-the chamber the door
ἐμήνυσε τὴν σπουδήν. Ὡς δὲ στρατηγὸς ἀγαθὸς Χαιρέας
he-reported the urgency as and a-general good Chaereas
“κάλει” φησί· “πόλεμος γὰρ ἀναβολὴν οὐ περιμένει.”
call-him he-says war for delay not waits-for
Εἰσαχθεὶς δὲ ὁ Αἰγύπτιος, ἔτι σκότους ὄντος, τῇ
having-been-brought-in and the Egyptian still darkness being by-the
κλίνῃ παραστὰς “ἴσθι” φησὶν “ὅτι βασιλεὺς ὁ Περσῶν
couch standing know he-says that the-king the of-Persians
ἀνῄρηκε τὸν Αἰγύπτιον καὶ τὴν στρατιὰν τὴν μὲν εἰς
has-killed the Egyptian and the army the indeed to
Αἴγυπτον πέπομφε καταστησομένην τὰ ἐκεῖ, τὴν δὲ
Egypt has-sent going-to-settle the-things there the and
λοιπὴν ἄγει πᾶσαν ἐνθάδε καὶ ὅσον οὔπω παρέσται·
rest he-leads all here and almost — will-be-here

2.3 πεπυσμένος γὰρ Ἄραδον ἑαλωκέναι λυπεῖται μὲν καὶ
having-learned for Aradus to-have-been-taken he-is-grieved indeed also
περὶ τοῦ πλούτου παντός, ὃν ἐνθάδε καταλέλοιπεν,
about the wealth all which here he-has-left
ἀγωνιᾷ δὲ μάλιστα περὶ Στατείρας τῆς γυναικός."
he-is-anxious but most about Stateira the wife

2.4 Ταῦτα ἀκούσας Χαιρέας ἀνέθορε· Καλλιρρόη δὲ αὐτοῦ
these-things having-heard Chaereas leapt-up Callirhoe but him
λαβομένη "ποῖ σπεύδεις" εἶπε "πρὶν βουλεύσασθαι
having-caught-hold-of where are-you-hurrying she-said before deliberating
περὶ τῶν ἐφεστηκότων; ἂν γὰρ τοῦτο δημοσιεύσῃς,
about the-things at-hand if for this you-make-public
μέγαν πόλεμον κινήσεις σεαυτῷ, πάντων ἐπισταμένων
great war you-will-stir-up for-yourself all knowing
ἤδη καὶ καταφρονούντων· πάλιν δὲ ἐν χερσὶ γενόμενοι
already and despising-you again and in hand having-come
πεισόμεθα τῶν πρότερον βαρύτερα."
we-shall-suffer than-the former-things heavier-things

2.5 Ταχέως ἐπείσθη τῇ συμβουλῇ καὶ τοῦ θαλάμου
quickly he-was-persuaded by-the counsel and from-the chamber
προῆλθε μετὰ τέχνης. Κρατῶν γὰρ τῆς χειρὸς τὸν
came-forward with art holding for by-the hand the
Αἰγύπτιον, συγκαλέσας τὸ πλῆθος "νικῶμεν, ἄνδρες"
Egyptian having-called-together the multitude we-are-winning men
εἶπε, "καὶ τὴν πεζὴν στρατιὰν βασιλέως· οὗτος γὰρ ὁ
he-said even the infantry army of-the-king this for the
ἀνὴρ τὰ εὐαγγέλια ἡμῖν φέρει καὶ γράμματα παρὰ τοῦ
man the good-news to-us brings and letters from the
Αἰγυπτίου· δεῖ δὲ τὴν ταχίστην ἡμᾶς πλεῖν, ἔνθα
Egyptian it-is-needful and the quickest-way us to-sail where
ἐκεῖνος ἐκέλευσε. Συσκευασάμενοι οὖν πάντες ἐμβαίνετε."
he ordered having-packed-up then all embark

Ταῦτα εἰπόντος ὁ σαλπιστὴς τὸ ἀνακλητικὸν εἰς τὰς 2.6
these-things as-he-said the trumpeter the recall to the
τριήρεις ἐσήμαινε. Λάφυρα δὲ καὶ αἰχμαλώτους τῆς
triremes sounded spoils and and captives on-the
προτεραίας ἦσαν ἐντεθειμένοι, καὶ οὐδὲν ἐν τῇ νήσῳ
previous-day they-had put-aboard and nothing on the island
κατελέλειπτο, πλὴν εἰ μή τι βαρὺ καὶ ἄχρηστον.
had-been-left except — — something heavy and useless
Ἔπειτα ἔλυον τὰ ἀπόγεια καὶ ἀγκύρας ἀνῄρουν καὶ 2.7
then they-loosed the shore-cables and anchors weighed and
βοῆς καὶ ταραχῆς ὁ λιμὴν ἐπεπλήρωτο καὶ ἄλλος ἄλλο
with-shouting and confusion the harbor was-filled and one another
τι ἔπραττε. Παριὼν δὲ Χαιρέας εἰς τὰς τριήρεις σύνθημα
thing did passing and Chaereas to the triremes a-signal
λεληθὸς τοῖς τριηράρχοις δέδωκεν ἐπὶ Κύπρου πλεῖν, ὡς
secret to-the trierarchs gave for Cyprus to-sail as
δῆτα ἀναγκαῖον ἔτι ἀφύλακτον οὖσαν αὐτὴν προκαταλαβεῖν·
indeed necessary still unguarded being it to-seize-first
πνεύματι δὲ φορῷ χρησάμενοι τῆς ὑστεραίας κατήχθησαν
with-a-wind and favorable having-used on-the next-day they-put-in
εἰς Πάφον, ἔνθα ἐστὶν ἱερὸν Ἀφροδίτης.
at Paphos where is a-temple of-Aphrodite
Ἐπεὶ δὲ ὡρμίσαντο, Χαιρέας, πρὶν ἐκβῆναί τινα τῶν 2.8
when and they-had-anchored Chaereas before to-disembark anyone of-the
τριηρῶν, πρώτους ἐξέπεμψε τοὺς κήρυκας, εἰρήνην καὶ
triremes first sent-out the heralds peace and
σπονδὰς τοῖς ἐπιχωρίοις καταγγεῖλαι. Δεξαμένων δὲ αὐτὸν
truce to-the natives to-proclaim having-received and him
ἐξεβίβασε τὴν δύναμιν ἅπασαν εἰς γῆν καὶ ἀναθήμασι
he-landed the force all on land and with-offerings

τὴν Ἀφροδίτην ἐτίμησε· πολλῶν δὲ ἱερείων συναχθέντων
— *Aphrodite he-honored many and victims having-been-gathered*
εἱστίασε τὴν στρατιάν.
he-feasted the army

2.9 Σκεπτομένου δὲ αὐτοῦ περὶ τῶν ἐξῆς ἀπήγγειλαν οἱ ἱερεῖς
considering and him about the-things next reported the priests
(οἱ αὐτοὶ δέ εἰσι καὶ μάντεις) ὅτι καλὰ γέγονε τὰ ἱερεῖα. Τότε
the same and are also seers that fair have-been the victims then
οὖν θαρρήσας ἐκάλεσε τοὺς τριηράρχους καὶ τοὺς Ἕλληνας
then having-taken-heart he-called the trierarchs and the Greeks
τοὺς τριακοσίους καὶ ὅσους τῶν Αἰγυπτίων εὔνους
the three-hundred and as-many-as of-the Egyptians well-disposed
ἑώρα πρὸς αὑτὸν καὶ ἔλεξεν ὧδε "Ἄνδρες συστρατιῶται
he-saw toward himself and spoke thus men fellow-soldiers
καὶ φίλοι, κοινωνοὶ μεγάλων κατορθωμάτων, ἐμοὶ καὶ
and friends partners of-great successes to-me both
εἰρήνη καλλίστη καὶ πόλεμος ἀσφαλέστατος μεθ' ὑμῶν·
peace most-beautiful and war safest with you

2.10 πείρᾳ γὰρ μεμαθήκαμεν ὅτι ὁμονοοῦντες ἐκρατήσαμεν
by-trial for we-have-learned that being-of-one-mind we-mastered
τῆς θαλάσσης· καιρὸς δὲ ὀξὺς ἐφέστηκεν ἡμῖν εἰς τὸ
the sea an-occasion and sharp has-come upon-us for —
βουλεύσασθαι περὶ τοῦ μέλλοντος ἀσφαλοῦς· ἴστε γὰρ
deliberating about the future security you-know for
ὅτι ὁ μὲν Αἰγύπτιος ἀνῄρηται μαχόμενος, κρατεῖ δὲ
that the indeed Egyptian has-been-killed fighting masters and
βασιλεὺς ἁπάσης τῆς γῆς, ἡμεῖς δὲ ἀπειλήμμεθα ἐν
the-king all the land we and are-cut-off in
μέσοις τοῖς πολεμίοις.
the-midst-of the enemies

Εἶτα οὖν συμβουλεύει τις ἡμῖν ἀπιέναι πρὸς βασιλέα 2.11
then then advises anyone us to-go-away to the-king
καὶ εἰς τὰς ἐκείνου χεῖρας φέροντας αὑτοὺς ἐμβαλεῖν;"
and into the his hands bringing ourselves to-throw
Ἀνεβόησαν εὐθὺς ὡς πάντα μᾶλλον ἢ τοῦτο ποιητέον.
they-cried-out at-once that anything rather than this must-be-done
"Ποῖ τοίνυν ἄπιμεν; πάντα γάρ ἐστιν ἡμῖν πολέμια
where then shall-we-go-away all for is to-us hostile
καὶ οὐκέτι οὐδὲ τῇ θαλάττῃ προσήκει πιστεύειν, τῆς γῆς
and no-longer not-even the sea it-is-fitting to-trust the land
κρατουμένης ὑπὸ τῶν πολεμίων· οὐ δήπου γὰρ ἀναπτῆναι
being-mastered by the enemies not surely for to-fly-up
δυνάμεθα." Σιωπῆς ἐπὶ τούτοις γενομένης Λακεδαιμόνιος
we-can silence at these-things having-come-about a-Lacedaemonian
ἀνήρ, Βρασίδου συγγενής, κατὰ μεγάλην ἀνάγκην τῆς
man of-Brasidas a-kinsman by great necessity —
Σπάρτης ἐκπεσών, πρῶτος ἐτόλμησεν εἰπεῖν "τί δὲ
from-Sparta having-been-exiled first dared to-say why indeed
ζητοῦμεν ποῖ φύγωμεν βασιλέα;
do-we-seek where are-we-to-flee the-king
ἔχομεν γὰρ θάλασσαν καὶ τριήρεις· ἀμφότερα δὲ ἡμᾶς εἰς 2.12
we-have for the-sea and triremes both and us to
Σικελίαν ἄγει καὶ Συρακούσας, ὅπου οὐ μόνον Πέρσας
Sicily lead and Syracuse where not only Persians
οὐκ ἂν δείσαιμεν, ἀλλ' οὐδὲ Ἀθηναίους."
not — we-would-fear but not-even Athenians
Ἐπῄνεσαν πάντες τὸν λόγον· μόνος Χαιρέας προσεποιεῖτο 2.13
praised all the speech alone Chaereas pretended
μὴ συγκατατίθεσθαι, τὸ μῆκος τοῦ πλοῦ προφασιζόμενος,
not to-assent the length of-the voyage pleading
τὸ δὲ ἀληθὲς ἀποπειρώμενος εἰ βεβαίως αὐτοῖς δοκεῖ.
the but truth testing whether firmly to-them it-seems

Σφόδρα δὲ ἐγκειμένων καὶ πλεῖν ἤδη θελόντων "ἀλλ'
strongly and pressing and to-sail already wishing but
ὑμεῖς μέν, ἄνδρες Ἕλληνες, βουλεύεσθε καλῶς καὶ χάριν
you indeed men Greeks deliberate well and gratitude
ὑμῖν ἔχω τῆς εὐνοίας τε καὶ πίστεως· οὐκ ἐάσω δὲ
to-you I-have for-the goodwill both and faithfulness not I-will-let and
ὑμᾶς μετανοῆσαι, θεῶν προσλαμβανομένων.
you to-repent the-gods aiding

2.14 Τοὺς δὲ Αἰγυπτίους (πολλοὶ γάρ εἰσιν) οὐ προσῆκεν
the but Egyptians many for are not it-was-fitting
ἄκοντας βιάζεσθαι· καὶ γὰρ γυναῖκας καὶ τέκνα ἔχουσιν
unwilling to-force for also wives and children they-have
οἱ πλείους, ὧν οὐκ ἂν ἡδέως ἀποσπασθεῖεν.
the most from-whom not — gladly they-would-be-torn-away
Κατασπαρέντες οὖν εἰς τὸ πλῆθος διαπυνθάνεσθαι ἑκάστου
having-scattered then into the multitude to-inquire-of each
σπεύσατε, ἵνα μόνον τοὺς ἑκόντας παραλάβωμεν."
hasten so-that only the willing we-may-take-along

II · THE LETTERS

Callirhoe has Stateira sent back to the king with honor under the escort of Demetrius, an Egyptian philosopher. Chaereas writes to the king, and Callirhoe writes in secret to Dionysius, commending their son to him. The women part in tears. The king, who takes the returning ships for enemies, recovers his wife and learns all, and he gives Dionysius all Ionia to rule. Reading Callirhoe's letter, Dionysius weeps and sets out for Ionia, consoled by the journey, his new command, and her house in Miletus.

Ταῦτα μέν, ὡς ἐκέλευσεν, ἐγίνετο· Καλλιρρόη δὲ λαβομένη 3.1
these-things indeed as he-ordered were-done Callirhoe but having-taken
Χαιρέου τῆς δεξιᾶς, μόνον αὐτὸν ἀπαγαγοῦσα "τί"
of-Chaereas the right-hand alone him having-led-away what
ἔφη "βεβούλευσαι, Χαιρέα; καὶ Στάτειραν ἄγεις εἰς
she-said have-you-decided Chaereas even Stateira do-you-bring to
Συρακούσας καὶ Ῥοδογύνην τὴν καλήν;" Ἠρυθρίασεν ὁ
Syracuse and Rhodogyne the beautiful blushed —
Χαιρέας καὶ "οὐκ ἐμαυτοῦ" φησὶν "ἕνεκα ἄγω ταύτας,
Chaereas and not for-my-own he-says sake I-bring these
ἀλλά σοι θεραπαινίδας."
but for-you as-handmaids
Ἀνέκραγεν ἡ Καλλιρρόη "μὴ ποιήσειαν οἱ θεοὶ τοσαύτην 3.2
cried-out — Callirhoe not may-make the gods so-great
ἐμοὶ γενέσθαι μανίαν, ὥστε τὴν τῆς Ἀσίας βασιλίδα
for-me to-become madness that the — of-Asia queen
δούλην ἔχειν, ἄλλως τε καὶ ξένην γεγενημένην. Εἰ δέ μοι
as-a-slave to-have especially — and a-hostess having-become if but me
θέλεις χαρίζεσθαι, βασιλεῖ πέμψον αὐτήν· καὶ γὰρ αὕτη
you-wish to-gratify to-the-king send her and for she
μέ σοι διεφύλαξεν ὡς ἀδελφοῦ γυναῖκα παραλαβοῦσα."
me for-you guarded as of-a-brother a-wife having-received
"Οὐδέν ἐστιν" ἔφη Χαιρέας, "ὃ σοῦ θελούσης οὐκ ἂν
nothing there-is said Chaereas which you wishing not —
ἐγὼ ποιήσαιμι· σὺ γὰρ κυρία Στατείρας καὶ πάντων τῶν
I would-do you for mistress of-Stateira and of-all the
λαφύρων καὶ πρὸ πάντων τῆς ἐμῆς ψυχῆς."
spoils and before all of-the my soul
Ἥσθη Καλλιρρόη καὶ κατεφίλησεν αὐτόν, εὐθὺς δὲ 3.3
was-pleased Callirhoe and kissed him at-once and
ἐκέλευσε τοῖς ὑπηρέταις ἄγειν αὐτὴν πρὸς Στάτειραν.
she-ordered the attendants to-bring her to Stateira

3.4 Ἐτύγχανε δὲ ἐκείνη μετὰ τῶν ἐνδοξοτάτων Περσίδων ἐν
happened-to-be and she with the most-distinguished Persian-women in
κοίλῃ νηί, ὅλως οὐδὲν ἐπισταμένη τῶν γεγενημένων,
a-hollow ship wholly nothing knowing of-the-things having-happened
οὐδ' ὅτι Καλλιρρόη Χαιρέαν ἀπείληφε· πολλὴ γὰρ ἦν,
nor that Callirhoe Chaereas had-got-back great for was
παραφυλακὴ καὶ οὐδενὶ ἐξῆν προσελθεῖν, οὐκ ἰδεῖν,
the-guard and to-no-one it-was-permitted to-approach not to-see
οὐ μηνῦσαί τι τῶν πραττομένων.
not to-report anything of-the-things being-done

3.5 ὡς δὲ ἦκεν ἐπὶ τὴν ναῦν, τοῦ τριηράρχου δορυφοροῦντος
when and she-came to the ship the trierarch escorting
αὐτήν, κατάπληξις εὐθὺς ἦν πάντων καὶ ταραχὴ
her consternation at-once was of-all and confusion
διαθεόντων, εἶτά τις ἡσυχῇ πρὸς ἄλλον ἐλάλησεν
of-people-running-about then someone quietly to another spoke
"ἡ τοῦ ναυάρχου γυνὴ παραγίνεται." Μέγα δὲ καὶ βύθιον
the of-the admiral wife is-coming great and and deep
ἀνεστέναξεν ἡ Στάτειρα καὶ κλάουσα εἶπεν "εἰς ταύτην
groaned — Stateira and weeping said for this
με τὴν ἡμέραν, ὦ τύχη, τετήρηκας, ἵνα ἡ βασιλὶς ἴδω
me the day O fortune you-have-kept so-that the queen I-may-see
κυρίαν· πάρεστι γὰρ ἴσως ἰδεῖν οἵαν παρείληφε δούλην."
a-mistress it-is-possible for perhaps to-see what-sort-of she-has-taken-over as-slave

3.6 Ἤγειρε θρῆνον ἐπὶ τούτοις καὶ τότε ἔμαθε τίς
raised a-lament at these-things and then she-learned what
αἰχμαλωσία σωμάτων εὐγενῶν. Ἀλλὰ ταχεῖαν ἐποίησεν
captivity of-bodies noble but quick made
ὁ θεὸς τὴν μεταβολήν· Καλλιρρόη γὰρ εἰσδραμοῦσα
the god the change Callirhoe for having-run-in

περιεπλάκη τῇ Στατείρᾳ "χαῖρε" φησίν, "ὦ βασίλεια·
embraced — Stateira greetings she-says O queen
βασιλὶς γὰρ εἶ καὶ ἀεὶ διαμενεῖς.
queen for you-are and always will-remain
Οὐκ εἰς πολεμίων χεῖρας ἐμπέπτωκας, ἀλλὰ τῆς σοι 3.7
not into enemies' hands you-have-fallen but of-the to-you
φιλτάτης, ἣν εὐηργέτησας. Χαιρέας ὁ ἐμός ἐστι ναύαρχος·
dearest whom you-benefited Chaereas — my is admiral
ναύαρχον δὲ Αἰγυπτίων ἐποίησεν αὐτὸν ὀργὴ πρὸς
admiral and of-Egyptians made him anger against
βασιλέα, διὰ τὸ βραδέως ἀπολαμβάνειν ἐμέ· πέπαυται
the-king because-of the slowly recovering me he-has-stopped
δὲ καὶ διήλλακται καὶ οὐκέτι ὑμῖν ἐστι πολέμιος.
and also he-has-been-reconciled and no-longer to-you is an-enemy
Ἀνίστασο δέ, φιλτάτη, καὶ ἄπιθι χαίρουσα· ἀπόλαβε καὶ 3.8
get-up and dearest and go-away rejoicing recover also
σὺ τὸν ἄνδρα τὸν σεαυτῆς· ζῇ γὰρ βασιλεύς, κἀκείνῳ σε
you the husband the your-own lives for the-king and-to-him you
Χαιρέας πέμπει. Ἀνίστασο καὶ σύ, Ῥοδογύνη, πρώτη μοι
Chaereas sends get-up also you Rhodogyne first to-me
φίλη Περσίδων, καὶ βάδιζε πρὸς τὸν ἄνδρα τὸν σεαυτῆς,
friend of-Persian-women and go to the husband the your-own
καὶ ὅσας ἡ βασιλὶς ἂν ἄλλας θέλῃ, καὶ μέμνησθε
and as-many-as the queen — others wishes and remember
Καλλιρρόης."
Callirhoe
Ἐξεπλάγη Στάτειρα τούτων ἀκούσασα τῶν λόγων καὶ 3.9
was-astounded Stateira these hearing the words and
οὔτε πιστεύειν εἶχε οὔτε ἀπιστεῖν· τὸ δὲ ἦθος Καλλιρρόης
neither to-believe could nor to-disbelieve the but character of-Callirhoe

τοιοῦτον ἦν, ὡς μὴ δοκεῖν εἰρωνεύεσθαι ἐν μεγάλαις
such was as not to-seem to-be-mocking in great
συμφοραῖς· ὁ δὲ καιρὸς ἐκέλευε ταχέως πάντα πράττειν.
misfortunes the but occasion bade quickly everything to-do

3.10 Ἦν οὖν τις ἐν Αἰγυπτίοις Δημήτριος, φιλόσοφος,
there-was then a-certain among Egyptians Demetrius a-philosopher
βασιλεῖ γνώριμος, ἡλικίᾳ προήκων, παιδείᾳ καὶ ἀρετῇ
to-the-king known in-age advanced in-education and virtue
τῶν ἄλλων Αἰγυπτίων διαφέρων. Τοῦτον καλέσας
than-the other Egyptians excelling this-man having-called
Χαιρέας εἶπεν "ἐγὼ ἐβουλόμην μετ' ἐμαυτοῦ σε ἄγειν,
Chaereas said I wished with myself you to-bring
ἀλλὰ μεγάλης πράξεως ὑπηρέτην σε ποιοῦμαι· τὴν γὰρ
but of-a-great deed a-servant you I-make the for
βασιλίδα τῷ μεγάλῳ βασιλεῖ πέμπω διὰ σοῦ.
queen to-the great king I-send through you

3.11 Τοῦτο δὲ καὶ σὲ ποιήσει τιμιώτερον ἐκείνῳ καὶ τοὺς
this and also you will-make more-honored with-him and the
ἄλλους διαλλάξει." Ταῦτα εἰπὼν στρατηγὸν ἀπέδειξε
others will-reconcile these-things having-said general he-appointed
Δημήτριον τῶν ὀπίσω κομιζομένων τριηρῶν· πάντες γὰρ
Demetrius of-the back being-conveyed triremes all for
ἤθελον ἀκολουθεῖν Χαιρέᾳ καὶ προυτίμων αὐτὸν πατρίδων
wished to-follow Chaereas and preferred him to-fatherlands
καὶ τέκνων.
and children

3.12 Ὁ δὲ μόνας εἴκοσι τριήρεις ἐπελέξατο τὰς ἀρίστας καὶ
he and only twenty triremes picked-out the best and
μεγίστας, ὡς ἂν ὑπὲρ τὸν Ἰόνιον μέλλων περαιοῦσθαι,
largest as — over the Ionian being-about to-cross
καὶ ταύταις ἐνεβίβασεν Ἕλληνας μὲν ἅπαντας, ὅσοι
and onto-these he-put-aboard Greeks indeed all as-many-as

παρῆσαν, Αἰγυπτίων δὲ καὶ Φοινίκων ὅσους ἔμαθεν
were-present of-Egyptians and and Phoenicians as-many-as he-learned
εὐζώνους· πολλοὶ δὲ καὶ Κυπρίων ἐθελονταὶ ἐνέβησαν.
active many and also of-Cyprians volunteers embarked
Τοὺς δὲ ἄλλους πάντας ἔπεμψεν οἴκαδε, διανείμας
the and others all he-sent home having-distributed
αὐτοῖς μέρη τῶν λαφύρων, ἵνα χαίροντες ἐπανίωσι
to-them parts of-the spoils so-that rejoicing they-might-return
πρὸς τοὺς ἑαυτῶν, ἐντιμότεροι γενόμενοι· καὶ οὐδεὶς
to the their-own more-honored having-become and no-one
ἠτύχησεν οὐδενός, αἰτήσας παρὰ Χαιρέου. Καλλιρρόη δὲ
failed-to-get anything having-asked from Chaereas Callirhoe and
προσήνεγκε τὸν κόσμον ἅπαντα τὸν βασιλικὸν Στατείρᾳ.
brought the adornment all the royal to-Stateira
Ἡ δὲ οὐκ ἐβουλήθη λαβεῖν, ἀλλὰ "τούτῳ" φησὶ "σὺ κοσμοῦ· 3.13
she but not wished to-take but with-this she-says you adorn-yourself
πρέπει γὰρ τοιούτῳ σώματι κόσμος βασιλικός. Δεῖ γὰρ
befits for such a-body adornment royal it-is-needful for
ἔχειν σε ἵνα καὶ μητρὶ χαρίσῃ καὶ πατρίοις ἀναθήματα
to-have you so-that both to-your-mother you-may-give and ancestral offerings
θεοῖς. Ἐγὼ δὲ πλείω τούτων καταλέλοιπα ἐν Βαβυλῶνι.
to-gods I and more than-these have-left in Babylon
Θεοὶ δέ σοι παρέχοιεν εὔπλοιαν καὶ σωτηρίαν καὶ 3.14
the-gods and you may-grant a-good-voyage and safety and
μηδέποτε διαζευχθῆναι Χαιρέου. Πάντα πεποίηκας εἰς ἐμὲ
never to-be-parted from-Chaereas everything you-have-done to me
δικαίως· χρηστὸν ἦθος ἐπεδείξω καὶ τοῦ κάλλους ἄξιον.
justly a-good character you-displayed and of-the beauty worthy
Καλήν μοι βασιλεὺς ἔδωκε παραθήκην."
a-fair to-me the-king gave deposit

4.1 Τίς ἂν φράσειε τὴν ἡμέραν ἐκείνην πόσας ἔσχε
who — could-tell the day that how-many it-had
πράξεις, πόσα πάθη διάφορα, εὐχομένων, συντασσομένων,
actions how-many feelings various of-people-praying taking-leave
χαιρόντων, λυπουμένων, ἀλλήλοις ἐντολὰς διδόντων, τοῖς
rejoicing grieving to-each-other instructions giving to-those
οἴκοι γραφόντων; Ἔγραψε δὲ καὶ Χαιρέας ἐπιστολὴν πρὸς
at-home writing wrote and also Chaereas a-letter to
βασιλέα τοιαύτην Σὺ μὲν ἔμελλες τὴν δίκην κρίνειν, ἐγὼ
the-king such you indeed were-about the case to-judge I
δὲ ἤδη νενίκηκα παρὰ τῷ δικαιοτάτῳ δικαστῇ· πόλεμος
but already have-won before the most-just judge war
γὰρ ἄριστος κριτὴς τοῦ κρείττονός τε καὶ χείρονος.
for best judge of-the stronger both and weaker

4.2 Οὗτός μοι ἀποδέδωκεν οὐ μόνον τὴν γυναῖκα τὴν ἐμήν,
this to-me has-given-back not only the wife — mine
ἀλλὰ καὶ τὴν σήν.
but also — yours

4.3 Οὐκ ἐμιμησάμην δέ σου τὴν βραδυτῆτα, ἀλλὰ ταχέως σοι
not I-imitated but your — slowness but quickly to-you
μηδὲ ἀπαιτοῦντι Στάτειραν ἀποδίδωμι καθαρὰν καὶ ἐν
not-even demanding Stateira I-give-back pure and in
αἰχμαλωσίᾳ μείνασαν βασιλίδα. Ἴσθι δὲ οὐκ ἐμέ σοι τὸ
captivity having-remained queen know and not me to-you the
δῶρον ἀλλὰ Καλλιρρόην ἀποστέλλουσαν. Ἀνταπαιτοῦμεν
gift but Callirhoe sending we-ask-in-return
δέ σε χάριν Αἰγυπτίοις διαλλαγῆναι· πρέπει γὰρ βασιλεῖ
